ΑΙΛΙΑΝΟΥ
ΠΕΡΙ ΣΤΡΑΤΗΓΙΚΩΝ
τάξεων ἑλληνικῶν.

AELIANI DE MILI
taribus ordinibus instituendis
more græcorum liber à
FRANCISCO ROBORTELLO
Vtinensi

NVNC PRIMVM GRAE-
cè, editus multisque imaginibus,
& picturis ab eodem
illustratus.

*

CVM PRIVILEGIO.

VENETIIS. M D LII.

ILLVSTRI AC NOBILISSIMO VIRO
MARIO SAVORNIANO FOROIVLIEN.
Patritio Veneto. Bellogradensium, & Osopensium Comiti amplissimo

Franciscus Robortellus Vtinensis. S. D.

ANtequàm Patauium irem, æstiuo hoc tempore pomeridianas horas, dum se calor frangeret, omnes consumpsi in Aeliani libello hoc legendo, emendando, atque figuris additis, quibus omnia exprimerentur, illustrando. quod percommodè accidit, cum enim præter illum meum manuscriptum, quem iam diu habebam, hîc quoque in bibliotheca Diui Marci duo alia essem nactus satis vetusta exẽplaria, quàmprimũ simul collatis omnibus, & meo iudicio selectis, si qua varietas erat, lectionibus, vt ederentur curaui; ęgrè enim ferebam homines elegantes, ac doctos, qui militandi artem discere cupiunt, qua olim Gręci, Asiæq; totius populi vsi fuerũt, tàm diu carere politissimo hoc Aeliani libello, in quo omnia illius artis vocabula explicantur, omnis ratio instruendarum copiarum, tùm pedestrium, tùm equestrium demonstratur, omnes præceptiones ad imperandum militibus, dum in acie collocati sunt aptæ traduntur. Sed si vti sese habebat descriptus in vetustis exemplaribus fuisset à me editus, non putabam me satis eorum gratiam posse promereri; Dedi igitur operam, vt meo ingenio multas figurationes, & distributiones suis locis collocarem, quæ vel nolentes ad legendum inuitare, ac trahere possunt, quòd statim intueantur, qualia sint illa, quæ ab Aeliano traduntur; est enim omne scriptorum genus, quod descriptionibus, & figurationibus artem aliquam egentem tradit, per se difficile, & obscurum, si descriptiones non apponantur; Poterit igitur videri libellus hic veluti quibusdam meis commentarijs illustratus; Tibi verò præstantissime Mari, qui artis militandi veterum tùm Græcorum, tùm Romanorum peritissimus es, Græcasq; literas optimè calles, totum hoc meu opus debebatur, tu enim, qui nosti quantam vtilitatem nostratibus hominibus afferre possit, efficere poteris, vt commendatissimus, ac expectatissimus omnibus sit. quis enim, si à te audierit laudari, ipsum non plurimi faciet, cum sciat tibi vni, quæ ad hanc artem bellicam spectant, ex veterum scriptis eruta magis esse cognita, quàm vnicuiq; suum nomen. Sæpe quidem tu me audisti dicentem, quod apud omnes quotidie, & libenter, & verè prædicare soleo, vnum te illum esse, qui ex lectione historicorum vberrimum fructum cæperis, nec frustra, sicuti multi legeris. Ac sanè dignissimum hoc erat Sauornianę familiæ nobilitate, dignissimum

fortissimo viro patre suo Hieronymo,qui periculosis temporibus dum illud durum, & asperrimis odijs concitatum aduersus rempu. Venetam à summis regibus, & principibus bellum gereretur, tàm praeclaram patriae operam nauauit suam, vt & Reipu. Venetae, & suis semper carissimus vixerit, magnamq; nominis sui laudem sit consecutus, quae nunquàm est interitura. dignissimum verò teipso, & consentaneum virtuti tuae, vt ea artis cognitione excelleres, quae omnium praestantissima, & vtilissima censetur; Cum enim ita comparatum sit, vt naturali quodam odio semper reges aduersus reges, & hi rursus aduersus Resp. & hae quoque inter se bellum suscipiant, neque perpetuo ocio frui possint, sed nouos semper tumultus cieant, aut imperandi cupiditate adducti, aut veteris alicuius iniuriae vlciscendae gratia, etsi aliquando iusta est causa belli gerendi, illa planè, quam demonstrat Aristoteles Lib. politicorum primo; Si quando ij, quos natura eo ingenio effinxit, vt seruire potius debeant, quàm imperare, suae conditionis obliti aduersus praestantiores, quos ad imperandum aptos natura eadem procreauit, insurgant; patet arte hac militandi nihil esse vtilius. Et quamuis nostra hac aetate omnes omnium rerum conficiendarum vigeant artes, in primisq; bellica disciplina ita floreat, vt non admodum veterum bellandi rationem aliquis requirat, iucundissimum tamen est nostratia cum vetustis conferre, & vtilissimum, cum ad illorum normam omnia fueris dimensus, videre an aliquid apud illos sit, quo nostri adhuc non fuerint vsi propter ignorationem disciplinae illius, atque ea ratione nostram artem tùm corrigendo meliorem, tùm addendo perfectiorem reddere, cum praesertim nullus tàm exercitatus esse possit, cui omnia sine monitore venire in mentem possint, eaq; in primis de causa ex lectione antiquorum haec paretur vtilitas, vt quae ab eius aetatis fortissimis viris excogitata, ac gesta fuerunt aut ad hostem fallendum, & in insidias deducendum, aut ad suos liberandos, aut ad vrbes expugnandas, aut milites deligendos, & aciem instruendam nobis proposita ad imitandum sint. Haec à me necesse fuit vt dicerentur aduersus nonnullos, qui spreta omni antiquorum disciplina satis se suo ingenio fultos putant ad omnia quàmlibet maxima negocia belli sustinenda; sed nimirum non tàm hos refellendos, quàm contemnendos puto. Nec tu id ignoras, qui scis, quàm multis instructa debeat esse rebus militaris scientia, quas si enumerare velim, vereor, ne longior sim; sicut igitur eorum non probo sententiam, qui in Duce exercitus nimis multarum rerum cognitionem requirunt, sic eos non sequor, qui omnis prorsus disciplinae, quae literis contineatur, rudem imperatorem esse oportere affirmant, satisq; esse, si & corpus laboribus obdurauerit, & in

acie ſtare didicerit, atque, ſicuti viros decet animoſos, ſeſe morti acriter obtulerit. nam ſi hæc vera ſunt, quorſum ſpectabant libri à fortisſimo rege Pyrrho, & à Cinea eius familiari ſcripti, fuerit ſanè inanis omnis illorum diſciplina. Quid? quòd C. Marius non miles modò, ſed & diſcipulus fuiſſe dicitur P. Africani? Pompeius etiam nonne extrema pueritia miles eſſe cœpit ſummi Imperatoris, à quo poſtea Magnus eſt appellatus. Atqui dicant illi fortaſſe, requirere ſe hunc diſcendi modum, qui ſine literis, conſuetudine tantùm quadam conſtat; Eſto vt lubet, nam ſi literis mandata non eſt diſciplina, rectè poteſt aliquis magiſtro vti viro aliquo eximio, ad cuius vocem, & imitationem ſeipſum effingat, & inſtituat. Si deſcripta eſt, poteſt ex libro deſumi, & nihilò minus etiam à viuente aliquo mortalium, ad cuius imitationem, & normam ſe aliquis exerceat, diſci; quamuis ille non doceat; Quis enim credat, aut Syllam Pompeio, aut Fabium Maximum Catoni, aut P. Africanum Mario præceptiones dediſſe, ſicuti ſolent, qui artem aliquam profitentur; Spectantes illi diſcebant, & obſeruantes, quæ à prudentisſimis Imperatoribus fiebant. Atque hæc erat illorum omnis diſciplina. Iam verò ſi ars illa propter vetuſtatem deſierit eſſe in vſu, & nouum quoddam genus militandi fuerit inuentum, quid vetat, quo minus antiquorum illam artem, quæ literarum monimentis ſeruatur, diſcamus, & cum noſtra hac conferamus, seligentes ea, quæ nobis conducere poſſe exiſtimabimus. Hiſtrionum, & ſaltatorum olim ars non erat literis tradita, inſtituebantur igitur à chorodidaſcalis (ſic enim eos Athenienſes vocabant) ſed fac non eſſe chorodidaſcalos, ipſimet intuentes actores, & ſaltatores, ac obſeruantes ſingulas corporis motiones pro rerum natura, ſeipſos ea ratione inſtituebant. Iam verò literis eſt poſtea tradita, & chorodidaſcali etiam erant, qui ſe docere eam artem profitebantur, commodius igitur diſci poterat; Sed fac fuiſſe immutatam ſaltandi rationem illam veterum. legendi omninò illorum libri, vt ea, quæ olim in vſu fuit diſciplina, cum ea, quæ apud nos viget, conferri poſſit. Atque, vt, quod initio propoſitum erat, concludam, non debet alienus eſſe à literis, & diſciplinis nonnullis, quæ Romanorum, & Græcorum ſcriptis continentur, qui rem militarem diſcere vult, nec tamen velim, vt qui hanc militandi artem profitetur, iureconſultorum formulas ediſcat, aut dialecticorum ceratinas, & griphos, disiuncta enim hæc ſunt; at Mathematicorum diſciplina aliqua ex parte; at Architectorum ſcientia, quæ iiſdem fundamentis nititur; at hiſtoriarum narratio, præſertim quæ rem bellicam, & caſtrenſem attingunt. multaq; eiuſmodi planè neceſſaria, & maximè coniuncta cum rei militaris ſcientia. Verùm tu hæc optime noſti, imò nullus melius te nouit, qui hæc tùm veteres authores legẽs, tũ multo vſu in caſtris verſans didiciſti. Vale. Venetiis. Idibus Iulij. M D L I I.

LECTORI.

Ubi ascriptum uides Francisci Robortelli nomen, eas scito imagines, ac distributiones omnes ab ipso effictas fuisse, quò facilius omnia intelligerentur.

Reliquas imagines habebant manuscripti libri notis quibusdam descriptas, quibus & funditores, & equites, & hastati pedites significabantur, sed omnes pingendas curauit Robortellus ad normam, & exemplar propriarum figurarum, ut quiuis statim rem ipsam perspicere posset.

Magnam utilitatem afferet hic liber legentibus historicos, si quando inciderint in loca, ubi de acie instructa, & ordinibus militaribus loquuntur.

Errata ſic corrigito.

pag.21.lin.10. ποσάρων. corrige τέσσαρσι.

Pag.20.lin.16. καὶ μή. κἂν μή.

Eadem.lin.22. τούτου. τρίτου.

Eadem.lin.33. ὁ ταῖς. ὅταν.

Eadem pag.& linea. adde poſt. προστασσόμενοι, ὅταν δέ.

Eadem pag.lin.38. ἀνδρῶν εἶναι. adde δεῖ.

Eadem lin. ὧν τε ὥστε.

Pag.27.lin.20. ἔνδεκα τρίτου. dele τρίτου.

Eadem.Pag.lin.33. lege ὑπεσταλκότα.

Pag.28.linea 37. lege παραστάτας.

Pag.29.linea.pri. ante ἡ δὲ inſere hec. καλεῖται δὲ ἡ μὲν εἰς τὰ δεξιὰ ἐπιδορυκλίσις.

Pag.30.lege ἐπὶ τῆς ζευκτικῆς.

Pag.38.li.3.poſt κδ'. adde λόχων.

Pag.42.lin.20.lege ἐκπυκνώσεις.

Pag.43. lin.6. ὑπ' αὐτοῖς τοῖς. corrige ὑπὸ πάντων.

Pag.eadem. lin.29. inſere poſt διπλασίῳ. ἢ τετραπλασίῳ.

Pag.46.lin.antepenul. lege ἑκάτεραι.

Pag.eadem lin. penultima αὐτῇ lege αὐτή.

Pag.47.lin.11. ἀμφίστομος corrige ἀντίστομος.

Pag. eadem lin.poſt figuram. ἀντίστομος. lege ἀμφίστομος.

Pag.48.in inſcriptione figurę lege ἀμφίστομος.

Pag.49.lin.5. ἐπὶ κέρως. lege ἐπικαίρως.

Pag.52.lin.8. lege παραντίνων ἀκροβολισμῶν.

Eadem.lin.10. lege διὰ τὸ ἀπὸ ἵππων.

Pag.56.li.5. βελτίονα inſere poſt, ἀντίκειται δὲ αὐτῇ φάλαγξ, ἥ. lin.6. poſt ἔμβολος inſere, καὶ ἔχει.

Pag.57.lin.2. lege οὕτως γοῦν ἐπαμεινώνδας.

Eadem lin.4. lege γίνεται δὲ, ὅταν. lin.inſequenti.dele ὅταν.

Pag.59.lin.10. poſt figuram. lege ἵνα μὴ οἱ μὲν.

pag.eadem lin.19. poſt τὸν μακεδόνα inſere ἐξελίσσειν. τὸν χορεῖον ἐξελίσσειν. ἐὰν δὲ εἴπῃς ἐξέλισσε τὸν μακεδόνα.

pag.60.lin.4. lege βαρβάρων vbi eſt βάρων.

Eadem lin. 4. lege παραγγελλομένῳ.

Eadem lin.16. lege ἀποδυνέτω.

Eadem lin.21. lege αὗται vbi eſt αὕτη.

ΑΙΛΙΑΝΟΥ ΠΕΡΙ ΣΤΡΑΤΗΓΙΚΩΝ ΤΑΞΕΩΝ.

ΤΗΝ παρὰ τοῖς Ἕλλησι τακτικὴν θεωρίαν, ἀπὸ τῶν Ὁμήρου χρόνων τὴν ἀρχὴν λαβοῦσαν, αὐτοκράτορ καῖσαρ υἱὲ θεοῦ ἀδριανὲ σεβαστέ, πολλοὶ τῶν πρὸ ἡμῶν συνέγραψαν, οὐκ ἔχοντες ἣν ἡμεῖς ἐν τοῖς μαθήμασιν ἐπιστεύθημεν ἕξιν ἔχειν. ἐμαυτὸν δὲ πείθων, ἐβουλήθην ταύτην συντάξαι τὴν θεωρίαν, ὅτι τοῖς ἡμετέροις οἱ μεθ' ἡμᾶς περὶ τῶν ἀρχαιοτέρων προσέξουσι συγγράμμασι. Τῆς δὲ παρὰ ῥωμαίοις περὶ τὸ μέρος τοῦτο δυνάμεως, καὶ ἐμπειρίας, οὐκ ἔχων γνῶσιν (δεῖ γὰρ ὁμολογεῖν ἀληθῆ,) ὄκνῳ κατειχόμην περὶ συγγράφειν καὶ παραδιδόναι τὸ μάθημα τοῦτο, ὡς ἀπημαυρωμένον, καὶ πάλαι μηδὲν ἔτι χρήσιμον τῷ βίῳ, μετὰ τὴν ἐφευρεθεῖσαν ὑφ' ὑμῶν διδασκαλίαν. Ἐπεὶ δὲ τῷ θεῷ πατρί σου νέρουα συμβαλὼν παρὰ φροντίνῳ τῶν ἐπισήμων ὑπατικῶν ἐν φορμίαις ἡμέρας τινὰς διετέλεσα δόξαν ἐπενεγκαμένῳ περὶ τὴν ἐν τοῖς πολέμοις ἐμπειρίαν. συμβαλὼν τἀνδρὶ, εὗρον οὐκ ἐλάττονα σπουδὴν ἔχοντα εἰς τὴν παρὰ τοῖς ἕλλησι τεθεωρημένην μάθησιν, ἠρξάμην οὐκ ἔτι καταφρονεῖν τῆς τῶν τακτικῶν συγγραφῆς. οὐκ ἂν σπουδάζεσθαι παρὰ φροντίνῳ δοκῶν αὐτὴν, εἴπερ τι χεῖρον ἐδόκει τῆς ῥωμαϊκῆς διατάξεως περιέχειν αὐτήν. πεποιηκὼς οὖν πώποτε συγγράμματος διατύπωσιν, μήπω δὲ πρὸς ἔκδοσιν ἑτοίμην εἶναι, ἀλλὰ τὴν σὴν ἀνυπέρβλητον αὐτοκράτορ ἀνδρείαν τε, καὶ ἐμπειρίαν, δι' ὧν πολλάκις ἁπλῶς τοὺς ποτὲ γενομένους κατὰ πόλεμον στρατηγοὺς ὑπερβάλλεις, παρῃρημένην τελεῖν τὴν πραγματείαν καλὴν σφόδρα. καὶ τοῖς ἐσπουδακόσι περὶ ταύτην τὴν θεωρίαν παραγκωνίσασθαι δυναμένην τὰ τῶν ἀρχαίων ἑλλήνων συντάγματα. εὐφωνίας γὰρ ἕνεκεν διαβεβαιούμενος λέγω τοὺς ἐντευξομένους τῇ δὲ τῇ συγγραφῇ οὐδὲν μᾶλλον, ἢ παρὰ τῶν πρεσβυτέρων στοιχειωθήσεσθαι. ἀλλὰ τὸ κατὰ τάξιν ἕκαστα δεδηλῶσθαι. οὐκ ἐθάρρησα μέντοι πέμψαι σοι τὸ σύγγραμμα, τηλικούτων πολέμων στρατηγῷ. μήπως εὐτελέστερα φανῇ τὰ δι' ἡμᾶς ὑφηγούμενα. ἂν δὲ ταῖς ἐπινοίαις σου ταῦτα παραβάλῃς, ὡς ἑλληνικὴν θεωρίαν καὶ γλαφυρὰν ἱστορίαν, ἐν ᾗ καὶ τοῦ μακεδόνος ἀλεξάνδρου τὴν ἐν ταῖς παρατάξεσιν ἐπιβολὴν θεωρήσεις, ψυχαγωγίαν παρέξει σοι τὸ σύγγραμμα. ἀλλὰ μέντοι σῆς ἀσχολίας προέγραψα τὰ κεφάλαια τῶν ἀποδεικνυμένων, ἵνα πρὸ τῆς ἀναγνώσεως τοῦ βιβλίου, τὸ ἐπάγγελμα τοῦ συγγράμματος δι' ὀλίγων κατανοήσῃς. καὶ οὓς ἂν ἐπιζητήσῃς διαγνωσθῆναι τόπους ῥαδίως εὑρίσκων, τὸν χρόνον μὴ τρίβῃς.

ΠΡΩΤΟΣ μὲν ὧν ἴσμεν, δοκεῖ τὴν τακτικὴν θεωρίαν ὅμηρος ἐπεγνωκέναι, θαυμάζειν δὲ τοὺς ἐπιστήμονας αὐτῆς, ὥσπερ μενεσθέα. τῷ δ' οὔ τις ὅμοιος ἐπιχθόνιος γένετ' ἀνήρ. κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας. καὶ περὶ τῆς καθ' ὅμηρον τακτικῆς, ἐνε-


τύχομεν συγγράφουσι, στρατηλάτῃ τε δοκίμῳ, καὶ Φροντίνῳ τῷ καθ' ἡμᾶς ὑπατικῷ ἀνδρί. ἐξειργασμένῳ δὲ τὴν θεωρίαν, Αἰνείας τε διὰ πλειόνων, καὶ στρατηγικὰ βιβλία ἱκανῶς συνταξάμενος. ὧν ἐπιτομὴν ὁ Θετταλὸς Κινέας ἐποίησε. Πύρρος τε ὁ Ἠπειρώτης τακτικὰ συνέγραψε. καὶ Ἀλέξανδρος ὁ τούτου υἱός, καὶ Κλέαρχος. ἔτι δὲ Παυσανίας. Εὐάγγελός τε, καὶ Πολύβιος ὁ Μεγαλοπολίτης, ἀνὴρ πολυμαθής, Σκιπίωνι συγγενόμενος, Εὐπόλεμός τε, καὶ Ἰφικράτης. ὁ δὲ στωϊκὸς Ποσειδώνιος, καὶ τέχνην τακτικὴν ἔγραψεν. ἄλλοι τε πλείους, ὁ μέν, εἰσαγωγάς, ὡς Βίων. οἱ δὲ καὶ τοπικὰς πραγματείας ἐξέδωκαν. οἷς πᾶσιν ἐγκυρήσας, ἀπειρόκαλον ἡγοῦμαι πάντων μεμνῆσθαι. ἐπέγνων δὲ ὡς ἔπος εἰπεῖν τοὺς συγγραφεῖς ὡς εἰδόσι τὰ πράγματα τοῖς ἀνθρώποις συντεταχότας. Ὅπερ οὖν αὐτοὶ πρῶτοι ἐφιέμενοι τῆς γνώσεως τοῦ πράγματος ἐπάθομεν. μήτε τοὺς ὑφηγησομένους εὑρίσκοντες, μήτε ἀποχρῶντας πρὸς παράδοσιν ἀποβάλλοντες τὰς τῆς πρὸ ἡμᾶς ἐκδόσεις ἔχειν, πειρασόμεθα καθ' ὅσον οἷόν τέ ἐστι, μὴ ἄλλοις τὸ αὐτὸ παθεῖν ποιῆσαι. ὁσάκις δ' ἄν μοι ὁ λόγος ἐξανύσῃ ἐν τοῖς νῦν παρεχοῦσαι, τῇ, τῶν θεωρημάτων. ἐπίκουρον παραλήψομαι ἐπὶ καταγραφῆς τὴν τῶν σχημάτων διατύπωσιν. τὴν ὄψιν τῇ νοήσει συλλήπτορα παρασχών; αὐταῖς μέντοι πειράσομαι ταῖς τῶν ἀρχαίων χρῆσθαι ἑκάστου λέξεσιν. ἵνα καὶ τοῖς ὀνόμασιν, καὶ τῇ συνηθείᾳ τῶν πολλάκις παρ' αὐτοῖς λεγομένων ὀνομάτων, συγγυμνασθέντες οἱ τῇ δὲ τῇ γραφῇ καθάπερ εἰσαγωγῇ προσέχοντες ἐν ἔθει γίνωνται τοῖς εἰρημένοις ὀνόμασι παρὰ τοῖς τακτικὰ συντάξασι, καὶ μὴ ξενίζωνται, ὅταν τοῖς ἐκείνων ἐντυγχάνωσιν. οἶμαι δὲ τὸν ἅπαξ εἰσαχθέντα ταῖς ὑφ' ἡμῶν παραδιδομέναις ὁδοῖς, εὐμαρῶς καὶ τὰ τῶν πρεσβυτέρων κατανοῆσαι. Ὅτι μέντοι τὸ μάθημα τοῦτο πάντων ἐστὶ χρειωδέστατον, λάβοι τις ἂν ἐξ ὧν ὁ Πλάτων ἐν τοῖς νόμοις φησί. τὸν γὰρ τῶν Κρητῶν νομοθέτην τοὺς νόμους τεθεῖσθαι, ὥσπερ εἰς πόλεμον ἀεὶ τῶν ἀνθρώπων παρεσκευασμένων. εἶναι γὰρ φύσει πάσαις ταῖς πόλεσι πρὸς ἁπάσας πόλεμον ἀκήρυκτον. πῶς οὖν ἄλλο τις ἡγήσεται προὐργιαίτερον μάθημα, ἢ τὸ βιβλίον χρειωδέστερον τούτου. λεκτέον δέ μοι πρῶτον περὶ τῶν εἰς τοὺς πολέμους πλείων παρασκευῶν. διτταὶ δέ εἰσι τούτων δυνάμεις. ἡ μέν, πεζική. ἡ δέ, ναυτική. καὶ πεζικὴ μέν, ἡ τῶν ἐπὶ γῆς μαχομένων. ναυτικὴ δέ, ἡ τῶν κατὰ θάλασσαν ἢ ποταμοὺς ἐν ναυσὶ παραταττομένων. καὶ περὶ μὲν τῶν ἐν ναυμαχίαις συντάξεων, ὕστερον ἐροῦμεν. τὰ δὲ πρὸς τὴν πεζικὴν στρατείαν συντείνοντα, νῦν ἀφηγησόμεθα. Τῶν ἐπὶ τοὺς πολέμους τοίνυν ἀθροιζομένων τὸ πλῆθος, τὸ μὲν ἐστὶ μάχιμον. τὸ δέ, κατὰ τὰς τούτου χρείας συνεξερχόμενον, ἄμαχον. καὶ μάχιμον μέν, τὸ παραταττόμενον ἐν τοῖς ἀγῶσι. καὶ δι' ὅπλων ἀμυνόμενον τοὺς πολεμίους. ἄμαχον δέ, τὸ λοιπόν. οἷον, ἰατρῶν. ἀγοραίων. ὀπτίλων. καὶ ἄλλων, ὅσοι διὰ τὰς ὑπηρεσίας ἐπακολουθοῦσι. τοῦ δὲ μαχίμου, τὸ μὲν ἐστὶ πεζικόν. τὸ δέ, ἐπ' ὀχημάτων. τὸ μὲν ἰδίως πεζόν, τὸ ἐπὶ

γῆς βεβηκός. τοῦ δὲ ἐπὶ τῶν ὀχημάτων, τὸ μὲν, ἐφ' ἵππων φέρεται. τὸ δὲ ἐπ' ἐλεφάντων. τοῦ δὲ ἐφ' ἵππων, τὸ μὲν, ἐφ' ἁρμάτων. τὸ δὲ, ἐπ' αὐτῶν ἵδρυται τῶν ἵππων. Τῷ μὲν γένει τοσαῦται γίνονται διαφοραί. τοῖς δὲ εἴδεσιν ἥ τε πεζικὴ διακόσμησις πολυμερής ἐστι, καὶ ἡ ἱππική. ἡ γὰρ τῶν ἐλεφάντων, μονοειδής ἐστι καὶ ἡ τῶν ἁρμάτων. ἡ μὲν οὖν πεζικὴ σύνταξις, τριχῆ διῄρηται. ἡ μὲν γάρ ἐστιν ὁπλιτῶν. ἡ δὲ, πελταστῶν. τρίτη δὲ, ψιλῶν. καὶ ἡ μὲν τῶν ὁπλιτῶν, βαρυτάτη παρὰ πάντας τοὺς πεζούς κέχρηται καθοπλίσει κατὰ τὸν μακεδονικὸν τρόπον, ἀσπίσι περιφερέσι καὶ δόρασι περιμηκεστέροις. ἡ δὲ τῶν ψιλῶν πάντων κουφοτάτη κέχρηται παρασκευῇ. μήτε θώρακας ἔχει μήτε περικνημίδας. μήτε θυρεοὺς ἢ ἀσπίδας βαρείας. ἀλλὰ τοῖς ἑκηβόλοις χρώμενον τοξεύμασιν. ἀκοντίοις, ἢ λίθοις ἐκ σφενδόνης, ἢ ἐκ χειρός. εἰς τοῦτο δὲ τὸ γένος, καὶ τὸ τοῦ ὁπλίτου ὅπλον κατατάττεται. καὶ αὐτὸ μὲν ἔχει τὸν ὁπλισμὸν ἐμφερῆ τῇ μακεδονικῇ παρασκευῇ. κουφότερον δὲ ἐκείνης τὸν καθοπλισμόν. τούτοις γὰρ πέλτης μικρόν ἐστι καὶ ἐλαφρὸν ὅπλον. καὶ τὰ δόρατα πολὺ τῶν σαρισσῶν μεγέθει λειπόμενα. δοκεῖ δὲ τούτων ἡ ὅπλισις, μέσην ἔχειν τάξιν τῶν ψιλῶν, καὶ τῶν ἰδίως λεγομένων ὁπλιτῶν. βαρυτέρα μὲν οὖσα τῶν ψιλῶν. κουφοτέρα δὲ τῶν ὁπλιτῶν. διὸ καὶ οἱ πλείους, καὶ τούτους μετὰ τῶν ψιλῶν συντάττουσι. Τῆς δὲ ἱππικῆς δυνάμεως, ἣν ἐχωρίσαμεν ἀπὸ τῶν ἁρμάτων ἐν ταῖς ἴλαις κατατασσομένης. ἡ μέν ἐστι κατάφρακτος, ἡ δὲ οὐ κατάφρακτος. κατάφρακτος μὲν, ἡ τοὺς ἵππους καὶ τοὺς ἄνδρας θώραξι πάντοθεν σκέπουσα. τῶν δὲ μὴ καταφράκτων, οἱ μὲν εἰσὶ δορατοφόροι. οἱ δὲ ἀκροβολισταί. δορατοφόροι μὲν οὖν εἰσὶν, οἱ ἀπὸ τῶν ἵππων, τοῖς πολεμίοις συμπλεκόμενοι, καὶ πλησίον δόρασι μαχόμενοι. τούτων δὲ οἱ μὲν θυρεοὺς ἔχουσι, καὶ καλοῦνται θυρεαφόροι. οἱ δὲ, χωρὶς θυρεῶν αὐτῶν μόνον δόρασι μάχονται. οἳ καὶ ἰδίως δορατοφόροι καλοῦνται, ὑπ' ἐνίων δὲ, ξυστοφόροι. ἀκροβολισταὶ δὲ τῶν ἱππέων λέγονται, οἱ πόρρωθεν βάλλοντες. τούτων δὲ, οἱ μὲν δορατίοις χρῶνται. οἱ δὲ τόξοις. καὶ δορατίοις μὲν, οἱ καλούμενοι ταραντῖνοι. τῶν δὲ ταραντίνων δύο εἰσὶ διαφοραί. οἱ μὲν γὰρ τοῖς δορατίοις πόρρωθεν βάλλοντες ὑπακοντισταὶ καλοῦνται, ἰδίως δὲ, ταραντῖνοι λεγόμενοι. τινὲς δὲ τῶν ταραντίνων, ἐλαφροῖς δορατίοις χρῶνται. ἅπαξ τε, ἢ δὶς, προεξακοντίσαντες. τὸ λοιπὸν συμπλέκονται τοῖς πολεμίοις ἐγγύθεν ἀπομαχόμενοι, παραπλησίως τοῖς εἰρημένοις δορατοφόροις. οὗτοι δὲ, καλοῦνται, ἐλαφροί. ὥς τε τῶν ταραντίνων, τοὺς μὲν ἰδίως καλεῖσθαι ταραντίνους, πόρρωθεν ἀκοντίζοντας. τοὺς δὲ, ἐλαφροὺς λέγεσθαι, τοὺς πλησίον μαχομένους. οἱ δὲ τῶν ἱππέων τόξοις χρώμενοι, ἱπποτοξόται λέγονται. ὑπ' ἐνίων δὲ σκύθαι. τοσαῦται μὲν οὖν εἰσὶ, τῶν ἐν τοῖς στρατοπέδοις διαφοραί, τὸ μαχίμου γένους τὸν ἀριθμὸν, ἐννέα: ὁπλιτῶν. πελταστῶν. ψιλῶν ἱππέων. δορατοφόρων ἱππέων. ἀκοντιστῶν ἱππέων. τοξοτῶν ἱππέων. καταφράκτων. ἁρμάτων. ἐλεφάντων. ἑκάστης δὲ τῆς εἰρημένης φάλαγγος, συστήματα, καὶ

[illegible] ὁπλῖται, πελτασταί, ψιλοί.

ἡγεμονίας, καὶ τάξεις, καὶ ἀριθμὸν ἐπιτήδειον περιεχούσης καὶ ὀνόματα, χάριν τῶν παραγγελλομένων. ὥς τε τὴν καθημερινὴν γυμνασίαν, καὶ συνάσκησιν. καὶ ἐπὶ τῆς ἀληθείας ἐν αὐτοῖς τοῖς ἀγῶσιν, [illegible] περὶ ἑκάστης εἰπεῖν. Τὸ μὲν οὖν ἐν τῇ τακτικῇ, προσοστατοῦτό ἐστι, παραλαβόντα πλῆθος ἀνδρῶν ἄτακτον, τοὺς ἐπιτηδείους ἐκλεξάμενον, καθ' ἣν ἕκαστον προσήκει χώραν συντάξαι. τουτέστι καταλοχίσαι, καὶ συλλοχίσαι. ἀριθμόν τε τοῦ παντὸς πλήθους ὁρίσαι σύμμετρον, καὶ εὐχρήστως ἔχοντα πρὸς τὸν κατὰ τὸν πόλεμον. τὸ γὰρ συντετάχθαι τὸ στράτευμα ἔν τε πορείαις, καὶ στρατοπεδείαις, ἐν αὐταῖς τε ταῖς παρατάξεσιν, ὠφελιμώτατόν ἐστι. εὑρίσκομεν γὰρ πολλάκις μεγάλας δυνάμεις συντετριμμένας διὰ τὴν ἀταξίαν ὑπ' ὀλίγων συντεταγμένων. Ὅθεν δὲ αὐτῆς ἔθεντο αἰνείας μὲν ἐπιστήμην εἶναι πολεμικῶν κινήσεων. πολύβιος δὲ, ἄν τις πλῆθος τακτικὸν παραλαβὼν τοῦτο συγκρίνῃ, καὶ καταλοχίσας συλλοχίσῃ, παιδεύσῃ τε χρησίμως τὰ πρὸς τὸν πόλεμον. τὸ μὲν οὖν καταλοχίσαι ἐστὶ, τὸ ποιῆσαι λόχους. Ὁ δὲ λόχος ἐστὶν ἀριθμὸς ἀνδρῶν ἀπό τινος ἡγουμένου. καὶ τῶν μετ' αὐτοῦ ὄπισθεν ἑπομένων, μέχρι τοῦ τελευταίου. τὸν δὲ ἀριθμὸν τοῦ λόχου, οἱ μὲν, ὀκτὼ ἀνδρῶν ἐποίησαν. οἱ δὲ, δώδεκα. οἱ δὲ δεκαέξ. ἔστω δὲ νῦν ἑκκαίδεκα ἀνδρῶν ὁ λόχος. συμμέτρως γὰρ ἔχει πρός τε τὸ μῆκος τῆς φάλαγγος. καὶ ἐάν τε διά τινας χρείας διπλασιάζηται τὸ βάθος. ὥς τε ἐπὶ τριάκοντα δύο ἄνδρας γενέσθαι. ἢ συναιρῆται, καὶ ἐπ' ὀκτὼ ἄνδρας βαθύνηται, οὐδὲν ἐμπόδιον γενήσεται τοῖς ὄπισθεν τασσομένοις ψιλοῖς. εἴ τε γὰρ ἀκοντίζοιεν ἢ σφενδόναις χρῶνται ἢ τοξεύμασιν, εὐκόλως ὑπερβαλοῦσι ταῖς βολαῖς τὸ τῆς φάλαγγος βάθος.


Fr. Robortellus.




λοχαγὸς
●
• ἐπιστάτης.
• πρωτοστάτης.
• ἐπιστάτης.
• πρωτοστάτης.
• ἐπιστάτης. καὶ οἱ λοιποὶ ὁμοίως.
•
•
•
•
•
•
•
•
•
●
οὐραγός

Fr. Robortellus.

Ὁ μὲν οὖν ἄριστος ἑκάστου λόχου, πρῶτος καὶ ἡγούμενος ἐστι, ὃς καὶ λοχαγὸς ἐπονομάζεται, καὶ ἡγεμὼν καὶ πρωτοστάτης. ὁ δὲ τελευταῖος τοῦ λόχου, οὐραγὸς καλεῖται. ὁ λόχος δὲ ὅλος, καλεῖται στίχος. ὀνομάζεται δὲ καὶ δεκανία. ὑπὸ δέ τινων, ἐνωμοτία. τινὲς δὲ τὴν ἐνωμοτίαν, τέταρτον τοῦ λόχου μέρος ἀπεφήναντο. καὶ τὸν ἡγούμενον τῆς ἐνωμοτίας, ἐνωματάρχην. τὰς δὲ δύο ἐνωμοτίας διμοιρίας ἐκάλεσαν. καὶ τὸν ἡγούμενον αὐτῆς διμοιρίτην, ὥστε τὸ ἡμιλόχιον, καὶ διμοιρίαν καλεῖσθαι. καὶ τὸν ἡμιλοχίτην, διμοιρίτην. οὗτος δέ ἐστι, ὁ τοῦ λόχου ἐπιστάτης, καὶ ὁ μὲν τοῦ λοχαγοῦ ὀπίσω τεταγμένος καλεῖται ἐπιστάτης. ὁ δὲ τούτου κατόπιν ὁμοίως πρωτοστάτης. ὁ δ' ἔτι τούτου κατόπιν ἐπιστάτης. ὥστε ὅλον τὸν στίχον ἐκ πρωτοστατῶν, καὶ ἐπιστατῶν συντετάχθαι παρεναλλὰξ τεταγμένων. δεῖ δὲ τὸν λοχαγὸν διαφέρειν τῶν ἄλλων. μετὰ δὲ τούτοις ἤδη, τὸν τῶν ἡμιλοχίων, ὥσπερ οὐραγούς. ὁρίζονται δὲ τὸν λόχον οὕτω. στίχον ἐξ ἐπιστατῶν κατ' ἀρετὴν ὑπὸ λοχαγῷ τεταγμένων.



Συλλοχισμὸς δέ ἐστιν, ὅταν τῷ προτέρῳ λόχῳ, ἕτερος παρατεθῇ. τῷ μὲν τοῦ προτέρου στίχου λοχαγῷ, ὁ λοχαγὸς τοῦ δευτέρου στίχου. τῷ δὲ ὄπισθεν ἐπιστάτῃ τοῦ προτέρου λοχαγοῦ, ὁ τοῦ δευτέρου λόχου ἐπιστάτης, καὶ κατὰ τὸ ἑξῆς. παραστάτης δὲ καλεῖται, πᾶς ὁ ζυγῶν, οἷον τῷ τοῦ προτέρου λόχου λοχαγῷ, ὁ τοῦ δευτέρου λόχου λοχαγός. καὶ ὁμοίως τῷ τοῦ προτέρου λόχου ἐπιστάτῃ. καὶ τοῦ δευτέρου λόχου ἐπιστάτης, καὶ κατὰ τὸ ἑξῆς. ὅθεν οὖν κατὰ τὸν δεύτερον λόχον τρίτος ταγῇ, ἢ τέταρτος, καὶ οὕτως κατὰ τὸ ἑξῆς οἱ λοιποί. τὸ τοιοῦτο συλλοχισμὸς καλεῖται.




Τὸ δὲ ὅλον σύστημα, τοῦ πλήθους τῶν λόχων, φάλαγξ καλεῖται· ἧς μῆκος μὲν, ἡ παρὰ τὴν τῶν λοχαγῶν τάξιν· ἐπεὶ δὲ μέτωπον, καὶ πρόσωπον, καὶ παράταξις, καὶ ζυγὸν, καὶ στόμα· καὶ ἡγεμόνες, καὶ πρωτοστάται· καὶ πρωτολοχία καλεῖται. ἡ δὲ κατὰ τὸ μῆκος τοῦ μετώπου πᾶν μέρος τῆς φάλαγγος μέχρι τῶν οὐραγῶν, βάθος καλεῖται. λέγεται δὲ μὲν καὶ τὸ μῆκος ἐπ' εὐθείας εἶναι τοῖς προτεταγμένοις ἢ τοῖς ἐπιστάταις ζυγεῖν. τὸ δὲ κατὰ τὸ βάθος ἐπ' εὐθείας εἶναι τοῖς οὐραγοῖς καὶ λοχαγοῖς στοιχεῖν. Διαιρεῖται δὲ ἡ φάλαγξ οὕτως. εἰς μὲν ὁλοσχερῆ μέρη, διὰ τῆς μὲν τοῦ μετώπου διχοτομίας, δι' ὅλου τοῦ βάθους. ὧν τὸ μὲν ἥμισυ, δεξιὸν καλεῖται κέρας καὶ κεφαλή· τὸ δὲ λοιπὸν εὐώνυμον λέγεται κέρας καὶ οὐρά. αὕτη δὲ ἡ διχοτομία τοῦ μήκους ὀμφαλὸς προσαγορεύεται καὶ στόμα, καὶ ἄραρος. Μετὰ δὲ τὴν τῶν ὁπλιτῶν φάλαγγα κατόπιν, τάσσεται τὸ τῶν ψιλῶν τάγμα. τούτων δὲ ἔτι κατόπιν τὸ τῶν ἱππέων. ὅταν μέντοι αἱ χρεῖαι ἀπαιτῶσιν ἐν ἑτέροις τόποις τάσσονται, οἵ τε ψιλοὶ καὶ οἱ ἱππεῖς, ὡς προελθόντες δηλοῦμεν. Πόσον δὲ δεῖ τὸν ἀριθμὸν τῶν τε ὁπλιτῶν εἶναι. καὶ πόσον τῶν ἱππέων, δηλώσομεν. καὶ πῶς ἕκαστον δεῖ τετάχθαι. καὶ πρὸς τὰς κατεπειγούσας χρείας πῶς δεῖ μετὰ πολλοῦ τάχους τὰς τάξεις μετασχηματίζειν, δηλωθήσεται. καὶ τίς ἡ διδαχὴ τῆς πρὸς ἕκαστον τάγμα κινήσεως γενήσεται, παραστήσομεν. Ορίζειν μὲν οὖν τὸν ἀριθμὸν τοῦ στρατεύματος, ἀπίθανον. πρὸς γὰρ ἣν ἕκαστος ἔχει παρασκευὴν τῶν τακτικῶν, δεῖ ὑπογραμμὸν τιθέναι τοῦ πλήθους. ἤδη μέντοι δεῖ γι-

γνῶσιν ὅτι τοιούτους ἀριθμοὺς ἐκλέγεσθαι δεῖ, οἵτινες ἐπιτηδείως ἕξουσι πρὸς τοὺς μετασχηματισμοὺς τῶν ταγμάτων, τουτέστι. ἐάν τε μῆκος τῆς φάλαγγος διπλασιάσαι βουληθῶμεν, ἢ πολυπλασιάζειν, τό τε μῆκος συνελεῖν. διὰ δὴ ταύτην τὴν αἰτίαν, ἀριθμοὺς ἐπενόησαν, μέχρι μονάδος εἰς ἥμισυ διαιρεῖσθαι δυναμένους. ὅθεν οἱ πλείους τῶν τακτικῶν συγγραψάντων, μυρίων ἑξακισχιλίων τριακοσίων ὀγδοηκοντατεσσάρων, τὴν τῶν ὁπλιτῶν φάλαγγα ἐποίησαν. ταύτης δὲ ἡμίσειαν, τὴν τῶν ψιλῶν. Ἔτι δὲ ταύτης ἡμίσειαν τὴν τῶν ἱππέων. ὁ γὰρ τῶν ͵αϛπδ ἀριθμὸς μέχρι μονάδος διχαδιαιρεῖται. τύπου γὰρ καὶ ὑπογραφῆς ἕνεκα, ὁ τοιοῦτος ἀριθμὸς ἐγκρίνεται. ὥς τε ἐπὶ τὸν λόχον δεκαὲξ ἀνδρῶν ὑποθέμεθα, δεήσει χιλίοις καὶ κδ εἶναι λόχοις. οὗτοι δὲ μεμερισμένοι εἰς τὰ τάγματα, τῶν ἑκάστῳ καὶ ὀνόματα κεῖται. Οἱ μὲν γὰρ δύο λόχοι, διλοχία καλοῦνται, ἀνδρῶν λβ'. καὶ ὁ τούτου τοῦ τάγματος ἡγούμενος διλοχίτης λέγεται. οἱ δὲ τέσσαρες λόχοι, τετραρχία. καὶ ὁ τούτου τοῦ τάγματος ἡγούμενος τετράρχης.


Fr. Robortellus.

τῶν δύο λόχων ἡγεμὼν καλεῖται διλοχίτης.



Fr. Robortellus.

ἐκ τεσσάρων λόχων μία τετραρχία.



Ανδρῶν ἑξήκοντα τεσσάρων ἔξαρχος. αἱ δὲ δύο τετραρχίαι καλοῦνται, τάξις. ἀνδρῶν ρκη', λόχων η', καὶ ὁ τούτων ἀφηγούμενος, καλεῖται ταξίαρχος.

Fr. Robortellus.


Duæ τετραρχίαι conficiunt τάξιν; & dux vocatur ταξίαρχος.



Αἱ δὲ δύο τάξεις καλοῦνται σύνταγμα. λόχων ις΄. ἀνδρῶν δὲ σνς΄. καὶ ὁ τούτων ἀφηγούμενος, συνταγματάρχης. ὑπ' ἐνίων δὲ τὸ σύνταγμα τῶν σνς ἀνδρῶν, ξεναγία καλεῖται. καὶ ὁ τούτου τοῦ τάγματος ἀφηγούμενος, ξεναγός. καθ' ἕκαστον τῶν σνς ἀνδρῶν σύνταγμα, ἔκταρχοι ἄνδρες ὑπάρχουσι πέντε. σημειοφόρος. οὐραγός. σαλπιγκτής. ὑπηρέτης. στρατοκήρυξ. δοκεῖ δὲ τὸ σύνταγμα τετράγωνον σχῆμα ἔχειν. δεκαὲξ ἀνδρῶν μήκους, ἐπὶ δεκαὲξ βάθους.

Fr. Robortellus.

Duæ τάξεις conficiunt vnum σύνταγμα, seu vnam ξεναγίαν, quæ habet formam tetragonalem exactam.



Dux huius vocatur ξεναγός. vel συνταγματάρχης.

Τὰ δὲ δύο συντάγματα ἔστιν ἀνδρῶν φιβ. λόχων, λβ´. καὶ ὁ τούτων ἀφηγούμενος πεντακοσιάρχης. αἱ δὲ δύο πεντακοσιαρχίαι, καλεῖται χιλιαρχία. ἀνδρῶν χιλίων κδ´. λόχων ξδ´. αἱ δὲ δύο χιλιαρχίαι, μεραρχία καλεῖται. ἀνδρῶν βμη. καὶ ὁ τοῦ μέρους τούτου ἡγούμενος, καλεῖται μεράρχης. λόχων ρκη´. τοῦτο δὲ τὸ μέρος ὑπ᾽ ἐνίων, τέλος καλεῖται. καὶ ἀφηγούμενος αὐτοῦ, τελεάρχης. αἱ δὲ δύο τελαρχίαι, φαλαγγαρχία καλεῖται. ἀνδρῶν δϟϛ. λόχων σνϛ. καὶ ὁ τούτου ἀφηγούμενος, φαλαγγάρχης. ὑπ᾽ ἐνίων δὲ καλεῖται τοῦτο τὸ τάγμα, στρατηγία. καὶ ὁ ἀφηγούμενος, στρατηγός. αἱ δὲ δύο φαλαγγαρχίαι, διφαλαγγαρχία, ἀνδρῶν σμςϟβ. λόχων φιβ. ὑπ᾽ ἐνίων δὲ τὸ τάγμα τοῦτο καλεῖται, μέρος. ἔτι δὲ καὶ κέρας. αἱ δὲ δύο διφαλαγγαρχίαι, τετραφαλαγγαρχία. λόχων ακδ. ἀνδρῶν αςτπδ´. ὥστε γίνεσθαι ἐν ὅλῃ τῇ φάλαγγι, κέρατα μὲν δύο, φαλαγγαρχίας δὲ δ´. μεραρχίας, η´. χιλιαρχίας. ις. πεντακοσιαρχίας λβ. συνταγματαρχίας ξδ. ταξιάρχας δὲ, ρκη´. τετράρχας δὲ σνϛ. διλοχίτας δὲ, φιβ. λόχους δὲ ακδ.

Fran. Robortellus.

Quot λόχους quilibet dux imperet.

λοχαγὸς dux λόχου.	1
διλοχίτης dux λόχων.	2
τετράρχ. dux λόχων.	4
ταξίαρ. dux λόχων.	8
συνταγμάταρ. dux λόχων.	16
πεντακοσιαρ. dux λόχων.	32
χιλίαρ. dux λόχων.	64
μεράρ. dux λόχων.	128
φαλάγγαρ. dux λόχων.	256
διφαλαγγάρ. dux λόχων.	512.
τετραφαλάγγαρ. dux λόχων.	1024

Fr. Robortellus.

πόσων στρατιωτῶν ἐστὶν ἕκαστος ἡγεμών.

ἐνωμοτάρχης ἡγεμών.	3	
διμοιρίτης.	6	
λοχαγός.	16	ἐν ἑνὶ λόχῳ.
ἐν δυσὶ λόχοις καὶ ἐξ ἧς ἐν διαιρέσει κατὰ δεκαέξ.		
διλοχίτης.	32	
τετράρχης.	64	
ταξίαρχος.	128	
ξεναγός.	256	
πεντακοσίαρχος.	512	
χιλίαρχος.	1024	
μεράρχης.	2043	
φαλαγγάρχης.	4096	
διφαλαγγάρχης.	8192	
τετραφαλαγγάρχης.	16384	

Fr. Robortellus.

ἀριθμὸς ἡγεμόνων ἀπὸ μικρῶν εἰς μεγάλους.

ἐνωμοτάρχαι.	4096
διμοιρῖται.	2043
λοχαγοί.	1024
διλοχῖται.	512
τετράρχαι.	256
ταξίαρχοι.	128
ξεναγοί.	64
πεντακοσίαρχοι.	32
χιλίαρχοι.	19
μεράρχαι.	8
φαλαγγάρ.	4
διφαλαγγ.	2
τετραφαλ.	1

ἡ ὅλη σύνταξις.

φαλ. β	φαλ. γ	φαλ. δ	φαλ. α
• • • • • • •	• • • • • • •	• • • • • • •	• • • • • • •
ἀριστερὸν	κέρας	ὀμφαλὸς ἢ στόμα ἀραρὸς	δεξιὸν κέρας.

Fr. Robortellus.

ξεναγία

πεντακοσιαρχία

χιλιαρχία


μεραρχία

φαλαγγαρχία

διφαλαγγαρχία

τετραφαλαγγαρχία

Fra. Robortellus.		Fr. Robortellus.
λόχος	(16 ὁπλίτας continet.	
	16	Duo λόχοι faciunt vnam διλοχίαν.
δίλοχ.	(32	Duæ διλοχ. faciunt vnam
	32	τετράρχ. & sic deinceps.
τετράρχ.	(64	
	64	λόχοι
τάξις.	(128	
	128	1
		2
		4
συνταγ.	(256	8
ἢ ξεναγ.	256	16
		32
πεντακο.	(512	64
	512	128
		256
χιλιαρ.	(1024	512
	1024	1024
μεραρ.	(2048.	
	2048	
φαλαγγαρ.	(4095	
	4096	
διφαλαγγ.	(8192	
ἢ κέρας.	8192	
τετραφα.	(16384	



Duo συντάγματα cõficiunt vnam πεντακοσιαρχίαν.

Duæ πεντακοσιαρχίαι conficiunt vnam χιλιαρχίαν.

Duæ χιλιαρχίαι conficiunt vnam μεραρχίαν.

Duæ μεραρχίαι conficiunt vnam φαλαγγαρχίαν.

Duæ φαλαγγαρχίαι conficiunt vnam διφαλαγγαρχίαν.


Duæ διφαλαγγαρχίαι conficiunt vnam τετραφαλαγγαρχίαν.

Phalanx τῶν ὁπλιτῶν *constabat ex xvi millibus ccc. lxxxiiii. ad numerum igitur xvi. militum per singulos λόχους, oportet esse instructam numero* M. XXIII. λόχων.

Καὶ ὁ μὲν ἄριστος τῶν φαλαγγαρχῶν ἐπὶ τοῦ δεξιοῦ κέρατος τέτακται, ὁ δὲ δευτερεύων, ἐπὶ τοῦ εὐωνύμου. ὁ δὲ κατ' ἀρετὴν τρίτος, μετὰ τῆς δευτέρας εἰς ἀριστερὸν, εἰς πρὸς τὴν μέσην ἀποτομήν. ὁ δὲ τέταρτος μετὰ τῆς τρίτης εἰς δεξιὸν, καὶ αὐτῆς ὡς πρὸς τὴν μέσην ἀποτομήν. ὥστε τὴν πρώτην, καὶ τετάρτην φαλαγγαρχίαν ἡγουμένους ἔχειν κατ' ἀρετὴν, πρώτην τε δύναμιν ἐχούσας καὶ τετάρτην, τὴν δὲ δευτέραν, καὶ τρίτην φαλαγγαρχίαν ἡγουμένους ἔχειν κατ' ἀρετὴν τάξιν ἐχούσας δευτέραν, καὶ τρίτην.

Fr. Robortellus.

φ.1. M.1. M.2 φ.2. φ.3. M.3. M.4. φ.4.



dex. cornu sin. dex. sin. | dex. sin. dex. sin. cornu.

1 2 sectura. 3 4

Δείξομεν δὲ ὅτι ἡ πρώτη, καὶ τετάρτη δύναμις, ἴση ἐστὶ τῇ δευτέρᾳ καὶ τρίτῃ. ὥστε τοὺς ἡγεμόνας ἰσοδυναμεῖν. Οἱ δὲ μεράρχαι καὶ αὐτοὶ τάσσονται οὕτως, ὥστε τὸν μὲν πρωτεύοντα τάσσεσθαι τῆς πρώτης φαλαγγαρχίας ἐπὶ τοῦ εὐωνύμου. τὸν δὲ δευτερεύοντα, ἐπὶ τοῦ δεξιοῦ τῆς δευτέρας φαλαγγαρχίας. τὸν δὲ τρίτον ἐπὶ τοῦ εὐωνύμου τῆς τρίτης φάλαγγος. ὁ δὲ τέταρτος ἐπὶ τοῦ δεξιοῦ τῆς τετάρτης φάλαγγος τάσσεται. Ὁμοίως δὲ καθ' ἑκάστην τετραρχίαν οἱ λοχαγοὶ οὕτως τάσσονται. ὥστε τὸν τοῦ πρώτου λόχου λοχαγὸν κατ' ἀρετὴν διαφέρειν. τὸν δὲ τοῦ τετάρτου λόχου λοχαγὸν δευτερεύειν τῇ δυνάμει. οὕτω γὰρ ἰσοδυναμοῦσιν αἱ διλοχίαι κατ' ἀρετὴν, ἡ γὰρ πρώτη διλοχία τὸν πρῶτον κατ' ἀρετὴν ἔχει καὶ τὸν τέταρτον. ἡ δὲ δευτέρα τὸν δεύτερον, καὶ τὸν τρίτον, κατ' ἀρετήν. δείκνυται δὲ ἐν τοῖς μαθήμασιν, ὅταν ὦσιν ἐν τέτρασι μεγέθεσιν ἀναλογίαι, τὸ ὑπὸ τοῦ πρώτου, καὶ τετάρτου ἴσον γινόμενον τῷ ὑπὸ δευτέρου καὶ τρίτου. Ἐπεὶ δὲ ἐν ἑκάστῳ συντάγματι τέσσαρες εἰσὶ τετραρχίαι, τῇ αὐτῇ ἀναλογίᾳ καὶ τὰ συντάγματα διακοσμήσομεν. ὥστε ἐν ἑκάστῳ συντάγματι τῆς πρώτης τετραρχίας τὸν τετράρχην ὑπὸ τοῦ δεξιοῦ τετάχθαι, καὶ προηγεῖσθαι κατ' ἀρετήν. τὸν δὲ τῆς τετάρτης τετραρχίας τε-


τράρχην

ξάρχην εὐώνυμον εἶναι, καὶ δευτερεύειν κατ' ἀρετήν. τὸν δὲ τῆς τρίτης μεραρχίας τετράρχην δεξιὸν εἶναι, καὶ τρίτον κατ' ἀρετήν. τὴν δὲ δευτέραν μεραρχίαν εὐώνυμον ἔχειν τὸν τετράρχην, καὶ τέταρτον κατ' ἀρετήν. Τὴν δὲ αὐτὴν ἀναλογίαν ἔχουσι καὶ αἱ μείζονες ἡγεμονίαι πρὸς αὐτάς.

Fr. Robortellus.

Sic est in manu scripto quodam libro expressa hæc figura.

φ.1. M.1. M.4. φ.4. φ.3. M.3. M.2. φ.2.



1 2 3 4

Franciscus autem Robortellus suo ingenio etiam has, quæ sequuntur, excogitauit, in quibus æquilibrem illam analogiam cernere quiuis potest. Sed suum iudicium quisque sequatur.

φ.1. M.4. φ.3. M.4. φ.4 M.3. M.1. φ.2.
1 2 3 4

Vel sic

φ.1. M.4. M.3. M.4. φ.4. φ.3. M.1. φ.2.
1 2 3 4

Vel sic

φ.1. M.4. M.2. φ.3. φ.4. M.3. M.1. φ.2.
1 2 3 4

Vel sic

φ.1. M.4. M.3. φ.3. φ.4. M.2. M.1. φ.2.
1 2 3 4

Et quoniam Aelianus in contextu ait octo Merarchas esse, apponemus aliam figuram, in qua etiam ipsis assignatus appareat locus, seruata æquilibri illa analogia.

φ.1. M.8. M.4. M.3. M.6. φ.3. φ.4. M.5. M.2. M.1. M.7. φ.2.
1 2 3 4

Νῦν δὲ καὶ περὶ τῶν διαστημάτων ὧν ἀπ' ἀλλήλων ἀφεστᾶσιν οἱ ὁπλῖται κατά τε μῆκος, καὶ κατὰ βάθος δηλώσομεν. διαφοραὶ δὲ εἰσὶ τρεῖς. ἀραιότατον μὲν γὰρ τάσσονται ἐν ἀφωρισμένοις διαστήμασιν ἑνίων χάριν χρειῶν. τεταγμένος μὲν οὖν ὁ ἀνὴρ, κατέχει πήχεις τέσσαρας. πυκνωμένος δὲ, κατέχει πήχεις δύο. συνησπικὼς δὲ κατέχει πῆχυν.

Fran. Robortellus.

• 4 • 4 •

4 4 4

• 4 • 4 •

Fran. Robortellus.

• 2 • 2 • 2 • 2 •

2 2 2 2 2

• 2 • 2 • 2 • 2 •

Fran. Robortellus.

• 1 • 1 • 1 • 1 • 1 • 1 • 1 • 1 •


1 1

• 1 • 1 • 1 • 1 • 1 • 1 • 1 • 1 •

1 1

• 1 • 1 • 1 • 1 • 1 • 1 • 1 • 1 •

Ἔστι δὲ πύκνωσις, ὅταν ἐκ τῶν ἀραιοτέρων διαστημάτων ἐλάσσονα τὰ διαστήματα ποιήσωμεν πυκνώσει κατά τε παραστάτην, καὶ ἐπιστάτην. τουτέστι κατὰ μῆκος, καὶ κατὰ βάθος. οὕτως μέντοι, ὥστε ἐπιδέχεσθαι μεταβολήν. Συνασπισμὸς δέ ἐστιν ὅταν τοῖς τῆς προειρημένης πυκνώσεως ἔτι μᾶλλον ἡ φάλαγξ πυκνώσῃ κατὰ παραστάτην. ὥστε διὰ τὴν συνέχειαν τοῦ στρατοῦ μὴ χωρεῖν κλίσιν μήτε ἐπὶ τὰ δεξιά, μήτε ἐπὶ τὰ εὐώνυμα. Γίνεται δὲ ἡ πύκνωσις, ὅταν ὁ στρατηγὸς βούληται ἀπάγειν τὴν φάλαγγα ἐπὶ τοὺς ἐναντίους. Ὁ δὲ συνασπισμὸς πρὸς τὸ τῶν πολεμίων ἔφοδον τεταγμένως ὑποστῆναι. Ἐπεὶ οὖν εἰσὶ χίλιοι, καὶ κδʹ οἱ κατὰ μέτωπον τῆς φάλαγγος τεταγμένοι λοχαγοί, δῆλον ὅτι τεταγμένοι μὲν καθέξουσι πήχεις τετρακισχιλίους ἐνενήκοντα ἕξ. τοῦ μήκους. τουτέστι στάδια δὲ κα, καὶ πήχεις ἐνενήκοντα ἕξ. πεπυκνωκότες δὲ, καθέξουσι στάδια ε, καὶ πήχεις μη. συνησπικότες δὲ, καθέξουσι σταδίους δύο καὶ ἥμισυ, πήχεις κδ. Ἡ δὲ ὅπλισις ἔστι τῆς φάλαγγος ἀσπίσι, καὶ δόρασι. Ἀσπὶς μὲν οὖν ἐστιν ἀρίστη, χαλκῆ μακεδονικὴ, οὐ λίαν κοίλη, ὀκταπάλαιστος. Δόρυ δὲ μὴ ἔλαττον ὀκταπήχεος. τὸ δὲ μήκιστον, μετὰ τοῦ δύνασθαι ἄνδρα κατὰ τοῦτο χρῆσθαι εὐμέτρως.



Δεῖ δὲ τοὺς λοχαγοὺς ὡς ἂν ἡγεμόνας τῶν ἐν τῇ φάλαγγι λόχων, ἀρίστους εἶναι πάντων. ὥστε μεγέθει τε καὶ ῥώμῃ τῶν ἄλλων διαφέρειν, ἐμπειρίᾳ τε προκεκρίσθαι, ἐπεὶ γὰρ τὸ ζυγὸν συνέχει τὴν φάλαγγα, καὶ τὴν μεγίστην χρείαν παρέχει. ὥσπερ γὰρ μάχαιρα τῷ ἑαυτῆς στόματι βαρέος, καὶ σήκωμα τὸν τοῦ ἐπικειμένου σιδήρου ὄγκον προσλαβοῦσα τὴν αὐτῆς δύναμιν παρέχει, τὸν αὐτὸν τρόπον, καὶ φάλαγγος ὑποληπτέον στόμα μὲν εἶναι τὸ τῶν λοχαγῶν τάγμα. ὄγκον δὲ καὶ σήκωμα καὶ βάρους πρόσθεσιν, τὸν κατὰ νώτου ταττόμενον ὄχλον. φροντιστέον δὲ ἐκ τῶν ἐνδεχομένων, καὶ δευτέρου ζυγοῦ. συνεπεκτείνεται γὰρ τὸ δόρυ καὶ τούτων τῶν ἀνδρῶν, καὶ πλησίον συντεταγμένον παρέχει χρείαν ἐν πολλοῖς παρεχομένων. καὶ πεσόντος ἢ τραυματισθέντος τοῦ λοχαγοῦ, προελθὼν εἰς τὸ πρόσθεν συνέχει τὴν τάξιν ἀρραγῆ. τὸ δὲ τρίτον ζυγὸν, καὶ τὰ ἑξῆς ἐκ τοῦ πρὸς λόγον καθὸ τῇ δυνάμει ὑποβέβληκεν. Ἡ δὲ μακεδονικὴ φάλαγξ τοῖς πολεμίοις ἀνυπόστατος ἐδόκει διὰ τὴν ἐν ταῖς τάξεσι κατασκευήν, ὁ γὰρ ἀνὴρ ἵσταται σὺν τοῖς ὅπλοις κατὰ τὰς ἐναγωνίους πυκνώσεις, καὶ ἐν πήχεσι δύο. Τὸ δὲ τῶν σαρισσῶν μέγεθος ἐστὶ, κατὰ μὲν τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, ἑκκαίδεκα πηχῶν. κατὰ δὲ τὴν ἀλήθειαν, δεκατεσσάρων, τούτων δὲ δύο πήχεις ἀφαιρεῖται τὸ μεταξὺ τῶν χειρῶν διάστημα τῆς προσβολῆς. αἱ δὲ λοιπαὶ δεκαδύο πήχεις προπίπτουσι πρὸ τῶν σωμάτων.

Fran. Robor.



14

16

Ἐκ τούτων οἱ ἐν τῷ δευτέρῳ ζυγῷ ὑποβεβηκότες τοῖς προστάταις πήχεις δ' ἐν τῇ φάλαγγι ἀφαιρούμενοι τὴν σάρισσαν ἔχουσι προπίπτουσαν ὑπὲρ τοὺς ὁπλίτας, τοὺς ἐν τῷ πρώτῳ ζυγῷ πήχεις δέκα, οἱ δὲ ἐν τῷ τρίτῳ ζυγῷ ὑπεραίρουσαν τοὺς πρωτοστάτας πήχεις η'. οἱ δὲ ἐν τῷ δ'. ἕξ. οἱ δ' ἐν τῷ ε'. πήχεις δ'. οἱ δὲ ἐν τῷ ς'. β'. καὶ πάντες οἱ κατόπιν, οὐκ ἔχουσι τὰς σαρίσσας τὰς τοῦ πρώτου ζυγοῦ ὑπερεχούσας.



Fr. Robortellus.

Διὸ καὶ καθ' ἕκαστον τῶν ἐν τῷ πρώτῳ ζυγῷ τεταγμένων σάρισσαι ε' ἢ καὶ ς' προβεβλημέναι, οἵαν εἰκὸς, ὄψιν πολεμίοις παρέχουσι. καὶ ἰσχὺν δὲ τοῦ ἀνδρὸς ε' ἢ, καὶ ς' σαρίσσαις πεφραγμένου, καὶ τοσαύταις δυνάμεσιν ἐπερειδομένου ὅπερ ἔστι σκοπεῖν. Καὶ οἱ μετὰ τὸν ς' δὲ ζυγὸν, καὶ μὴ ταῖς σαρίσσαις ἐνεργοῦσι, τῷ βάρει τῶν σωμάτων ἐπιβρίθοντες ἰσχυροτέραν ποιοῦσι τὴν δύναμιν καὶ τοῖς προστάταις ἀνέλπιστον φυγεῖν. Ἔνιοι δὲ τὰ τῶν ὀπίσω τεταγμένων ὁπλιτῶν δόρατα μακρότερα τῶν ἔμπροσθεν κατεσκεύασαν, ἵνα καὶ οἱ μέχρι τούτου ζυγοῦ ἢ τετάρτου τεταγμένοι τὰς αἰχμὰς ἐξ ἴσου τοῖς αὐτῶν προτεταγμένοις ἐπιφέρωσιν. Ὁ δὲ καθ' ἕκαστον σύνταγμα ἔκτακτος οὐραγὸς ἔστω σύμπαντος ὅλου τοῦ συντάγματος προνοούμενος, ἵνα στοιχῶσι, καὶ ζυγῶσιν ἀλλήλοις, τούς τε ἀποδυομένους διὰ δειλίαν, ἢ δι' ἄλλην τινὰ αἰτίαν κωλύων εἰς τάξιν καθιστάναι. Ἔν τε τοῖς συνασπισμοῖς, ἐάν τις χρεία γένηται, ἀναγκάσῃ συνερείδειν τοὺς ἄνδρας ὅτι μάλιστα ἀλλήλοις. τοῦτο γάρ ἐστι τὴν ἰσχὺν τῷ τάγματι παρεχόμενον. ἵνα μὴ μόνον ἐν τῷ μετώπῳ, ἀλλὰ καὶ ἐπ' οὐρᾶς τοῦ τάγματος κόσμος τις ὑπάρχῃ τῶν προειρημένων ἕνεκεν αἰτιῶν. αὐτάρκως δ' εἰρηκότες περὶ τοῦ καταλοχισμοῦ τῶν ἐν τῇ φάλαγγι ὁπλιτῶν νῦν καὶ περὶ τῶν ψιλῶν δηλώσομεν.

Τάττονται δὲ ὑπὸ τοῦ στρατηγοῦ πρὸς τὰς τῶν πολεμίων παρασκευάς, ὅτε μὲν προτασσόμενοι ὀπίσω τῆς φάλαγγος. ὥσπερ ἀπαιτῇ τὸ πρᾶγμα. νῦν δὲ συντετάχθωσαν οὕτως. λόχους μὲν καὶ ἐν τοῖς ψιλοῖς τάξομεν χιλίους κδ'. τοὺς ἴσους τοῖς ἐν τῇ φάλαγγι. ὥστε ὑπὸ τὸν πρῶτον λόχον τῶν ὁπλιτῶν τὸν πρῶτον λόχον τῶν ψιλῶν τετάχθαι. καὶ ὑπὸ τὸν δεύτερον τὸν δεύτερον, καὶ ὁμοίως κατὰ τὸ ἑξῆς. οὐ μέντοι δεκαὲξ ἀνδρῶν εἶναι ἀλλὰ τοὺς ἡμίσεις ἐξ ὀκτὼ ἀνδρῶν. ὥντε τοὺς χιλίους, κδ' λόχους ἀνδρῶν εἶναι, η,ς ἐνενήκοντα δύο. Ὀνόματα δὲ αὐτῶν καὶ τάξεις εἰσὶν αἱ ὑποτεταγμέναι, οἱ τέσσαρες λόχοι τῶν ψιλῶν, καλοῦνται σύστασις. ἀνδρῶν λβ'. αἱ δὲ δύο συστάσεις, πεντηκονταρχία, ἀνδρῶν

ξδʹ. αἱ δύο πεντηκονταρχίαι, ἑκατονταρχία ἀνδρῶν ρκηʹ. καθ' ἑκάστην δὲ ἑκατονταρχίαν ἔκτακτοι ἄνδρες ἔσονται ε΄. σημειοφόρος, οὐραγός, σαλπικτής. ὑπηρέτης. καὶ στρατοκήρυξ. αἱ δύο ἑκατονταρχίαι εἰσὶ μὲν ἀνδρῶν σνϛ. καλεῖται δὲ ψιλαγία. αἱ δὲ δύο ψιλαγίαι, ξεναγία ἀνδρῶν φιβ. αἱ δύο ξεναγίαι, σύστρεμμα ἀνδρῶν ακδʹ. τὰ δὲ δύο συστρέμματα ἐπιξεναγία, ἀνδρῶν βμηʹ. αἱ δὲ δύο ἐπιξεναγίαι στίφος ἀνδρῶν δ ἐνενήκοντα ἕξ. τὰ δὲ δύο στίφη, ἐπίταγμα. λόχων μὲν, ακδʹ. ἀνδρῶν δὲ ηϛ ἐνενήκοντα δύο. δεῖ δὲ καὶ τούτοις ὑπάρχειν ἄνδρας ὀκτὼ ἐκτάκτους. ὧν οἱ μὲν τέσσαρες ἔσονται ἐπιξεναγοί, οἱ δὲ τέσσαρες συστρεμματάρχαι.

Fr. Robortellus.

Duæ συστάσεις ψιλῶν *conficiunt vnam* πεντηκονταρχίαν.



Nota tamen πεντηκονταρχίαν continere plures, quam numerus significat. hoc est. 94

Duæ πεντηκονταρχίαι conficiunt unã ἑκατονταρχίαν, quæ continet milites. 128

Duæ ἑκατονταρχίαι conficiunt vnã ψιλαγίαν, quæ continet milites. 259

Duæ ψιλαγίαι conficiunt vnam ξεναγίαν, quæ continet milites 512.

Duæ ψιλαγίαι conficiunt vnum σύστρεμμα, quod continet milites. 164.

Duo συστρέμματα conficiunt vnam ἐπιξεναγίαν, quæ cõtinet. 2048.

Duæ ἐπιξεναγίαι cõficiunt vnum σῖφος, quod continet. 4069

Duo σῖφη conficiunt vnam ἐπίταγμα. quod continet. 6062.

λόχοι totidem sunt in his, quot erant ἐν τοῖς ὁπλίταις.

Nomina ducum quæ sint, & quot etiam, satis patet.

Fr. Robortellus.



Ὁ δὲ ἀκοντιστὴς, καὶ ὁ τοξότης, καὶ πᾶς ὁ ἀκροβολιστικοῖς χρώμενος, πρὸς τὸ κατάρξασθαι, καὶ ἐκκαλέσασθαι, καὶ τὰ ὅπλα κατακόψαι, καὶ τραύματα, καὶ πτώματα ἐκ διαστήματος ποιῆσαι, καὶ τὰς τάξεις διαλῦσαι, καὶ ἵππον ἀποκρούσασθαι, καὶ τοὺς προκατειλημμένους βάλλοντας ὑποχωρεῖν ἀναγκάσαι, καὶ τοὺς ὑπόπτους τῶν τόπων ἐρευνῆσαι, καὶ ἐνέδρας παρασκευάσαι. τὸ δὲ ὅλον εἰπεῖν, αὐτοὶ καὶ προαγωνιζόμενοι, καὶ συναγωνιζόμενοι πολλὰ, καὶ μεγάλα κατεργάζονται περὶ τὰς μάχας. Τὰς δὲ τῶν ἱππέων τάξεις, ἤτοι τετραγώνους, ἢ ἑτερομήκεις, ἢ ῥομβοειδεῖς, ἢ ἐμβολοειδεῖς, οἱ πρὸ ἡμῶν συνέταξαν. οὐδεὶς δὲ, ὡς ἔπος εἰπεῖν, σαφῶς ἡμῖν παρέδωκε τὸ βούλημα. διό περ ἡμεῖς καὶ ἐπὶ καταγραφῆς τὰ σχήματα τάξομεν, ὅπως εὐσύνοπτα γένηται. Ταῖς μὲν οὖν ῥομβοειδέσι δοκοῦσι Θεσσαλοὶ κεχρῆσθαι ἐν ἱππικῇ πολὺ δυνηθέντες, Ἰάσονος σφίσι προέδρου τὸ σχῆμα τοῦτο ἐπινοήσαντος, ὡς ἐπιτηδειότατον πρὸς πάσας τὰς χρείας, καὶ τάχιστα μὲν πρὸς ἑκάστην ἐπιφάνειαν στρέφεσθαι δυναμένων τῶν ἐν τῷ σχήματι τούτῳ τεταγμένων ἵππων.



Ἥκιστα δὲ κατὰ νῶτον, καὶ πλαγίων ἁλίσκεσθαι, τούς τε γὰρ ἀρίστους τῶν ἱππέων ἐπὶ τῶν πλευρῶν τοῦ ῥόμβου τάσσεσθαι, καὶ κατὰ τὰς γωνίας τοὺς ἡγεμόνας. ἐπὶ μὲν τῆς ἔμπροσθεν γωνίας τὸν ἰλάρχην, ἐπὶ δὲ τῆς δεξιᾶς, καὶ εὐωνύμου γωνίας τοὺς καλουμένους πλαγιοφύλακας. ἐπὶ δὲ τῆς λοιπῆς τὸν οὐραγόν. ταῖς δὲ ἐμβολοειδέσι Σκύθαι δοκοῦσι κεχρῆσθαι, καὶ Θρᾷκες, καὶ Μακεδόνες ἐχρήσαντο, Φιλίππου τὴν τάξιν εἰσηγησαμένου, τὴν γὰρ χρείαν ἐνεργεστέραν ταύτας ἔχειν μᾶλλον τῶν τετραγώνων ὑπέλαβον, διὰ τὸ κύκλῳ τοὺς ἡγεμόνας τετάχθαι. τὸ δὲ μέτωπον βραχύτι γινόμενον, καὶ τὴν διίππευσιν εὐχερέστερον ποιεῖν διὰ τοῦ τυχόντος διαστήματος, καὶ τὴν διαστροφὴν, καὶ ἐπιστροφὴν σύντομον, οὐ γὰρ ἔχειν δυσκόλους τὰς περιαγωγάς, ὥσπερ τὰς τετραγώνους. Ταῖς μέντοι τετραγώνοις ἐχρήσαντο Πέρσαι τε, καὶ Σικελοί, καὶ τῶν Ἑλλήνων οἱ πλεῖστοι πεπεισμένοι καὶ τὴν σύνθεσιν ἔχειν εὐχερεστέραν, καὶ τὴν συνίππευσιν, καὶ τὴν χρείαν πολλῷ βελτίω. τήν τε γὰρ σύνταξιν εὐχερεστέραν ἔχειν κατά τε στίχον, καὶ κατὰ ζυγὸν τεταγμένων, καὶ μόνων τούτων πάντας τοὺς ἡγεμόνας ἀθρόους ἐμπίπτειν τοῖς πολεμίοις. Ἄρισται δὲ εἰσὶν αἱ διπλάσιον τὸν ἀριθμὸν τὸν ἐν τῷ μήκει ἔχουσαι, ἤπερ ἐν τῷ βάθει. οἷον, ὀκτὼ μὲν τὸ μῆκος, τέσσαρας δὲ τὸ βάθος. ἢ δέκα μὲν τὸ μῆκος, πέντε δὲ τὸ βάθος.


Fr. Robortellus.



Fran. Robortellus.




Fr. Robortellus.




Αὗται δὲ τῷ μὲν ἀριθμῷ εἰσὶν ἑτερομήκεις. τῷ δὲ σχήματι γίνονται τετράγωνοι. τὸ γὰρ ἵππου ἀπὸ κεφαλῆς ἐπὶ οὐρὰν μῆκος πρὸς τὸ πλάτος συγκρινόμενον τῶν κατὰ ζυγὰ τασσομένων τοὺς κατὰ τὸν στοῖχον πλείονας ἔχειν ὀφείλει. Ἔνιοι δὲ διπλάσιον ἐποίησαν τὸν ἀριθμὸν τῶν ἐν τῷ μήκει τεταγμένων, παρὰ τοὺς ἐν τῷ βάθει. οὕτως δοκοῦντες τετράγωνον ποιήσειν τὸ σχῆμα. δοκεῖ γὰρ διπλάσιον ὡς ἐπίπαν εἶναι τὸ μῆκος τοῦ ἵππου, τοῦ κατὰ τοὺς ὤμους πλάτους. ὅθεν ἐννέα ἐν τῷ μετώπῳ τάσσοντες, τρεῖς ἐν τῷ βάθει ποιοῦσιν, οὐδὲ γὰρ τὸ πλῆθος τῆς ὄπισθεν ἱππέων τὴν αὐτὴν ὠφέλειαν παρέχει, ἣν ἐπὶ τῆς πεζῶν τὸ βάθος ὄπισθεν ἐπερειδόντων, οὐδὲν γὰρ συμβάλλονται πρὸς τὴν σφοδρότητα τῆς διερείσεως, οὐδὲ γὰρ ἐπωθοῦσιν, οὐδὲ συνέχουσι τοὺς περὶ ἑαυτῆς τοῦ σύμπαντος πλήθους ἕν τι βάρος ἀποτελοῦντες. ἐπιβάλλοντες δὲ τοὺς περὶ


ἑαυτῶν κακοποιοῦσιν ἑαυτοὺς μᾶλλον τῶν ἐναντίων ἐκ ταράξαντος τοὺς ἵππους. Διό περ ἀεὶ, συμβαίνει ὅταν ὁ τῶν ἀριθμὸς τῶν ἱππέων ὁ τοῦ μήκους πρὸς τὸ βάθος τυγχάνῃ, τὸν μὲν ἀριθμὸν τετράγωνον γίνεσθαι. τὸ δὲ σχῆμα ἑτερόμηκες, τοῦ βάθους μείζονος ὄντος, ἢ τοῦ μήκους. Ὅταν δὲ τὸ σχῆμα τῆς ἴλης τετράγωνον ᾖ, ὁ ἀριθμὸς τῶν ἱππέων γίνεται ἑτερομήκης. Δοκεῖ δὲ τὸ ῥομβοειδὲς σχῆμα ἀναγκαιότατον παρειλῆφθαι. τοῦ γὰρ ἰλάρχου πρόσθεν τασσομένου, οἱ δὲ ἑκατέρου μέρους τασσόμενοι ἱππεῖς, οὐκέτι ἴσοι τῷ ἰλάρχῃ ζυγεῖν ὀφείλουσιν, ἀλλὰ ὑποβεβηκέναι, ὥστε τὰς κεφαλὰς τῶν ἱππέων αὐτῶν κατὰ τοῦ ὤμου τοῦ ἵππου τοῦ ἰλάρχου τετάχθαι. διαστήματά τε ἀπ᾽ ἀλλήλων τοὺς ἱππέας ἔχειν τούς τε ἐκ δεξιῶν, καὶ τοὺς εὐωνύμων ὄντας: καὶ τοὺς ὀπίσω ἐν τοῖς μέρεσι τεταγμένους, ἵνα μὴ ἡ συνέχεια ταραχὴν ἐμποιῇ λακτίσμασί τινων παρεμπιπτόντων. πολλάκις τῶν ἱππέων, καὶ τραχυτέρων τὰς φύσεις ὄντων. ἔν τε τῷ διαστρέφειν, ἵνα μὴ παραμήκης ὂν τὸ ζῶον εἰς τοὺς πλησίον ἵππους ἐντινάσσον τραύματα τοῖς ἀγωνιζομένοις παρέχηται. Τῶν δὲ ἐν τοῖς ῥομβοειδέσι σχήμασι τὴν ἵππον συνταξάντων οἱ μὲν οὕτως ἔταξαν, ὥστε τοὺς ἱππέας καὶ στοιχεῖν, καὶ ζυγεῖν. οἱ δὲ, στοιχεῖν μὲν, οὐκέτι δὲ ζυγεῖν. οἱ δὲ ζυγεῖν μὲν, οὐ στοιχεῖν δέ. Ἑκάστη δὲ τάξις οὕτως ἔχει. οἱ μὲν τοὺς ῥόμβους καὶ στοιχεῖν καὶ ζυγεῖν βουληθέντες ἔταξαν τὸν μέγιστον τὸν ἐν τῇ ἴλῃ ζυγὸν μέσον ἐκ τοῦ ἀριθμοῦ περισσοῦ. οἷον ἕνδεκα τριῶν, ἢ δεκαπέντε. ἐφ᾽ ἑκάτερα δὲ τούτου τοῦ ζυγοῦ ἔταξαν, ὃν μὲν ἔμπροσθεν, ὃν δὲ ὄπισθεν. ἕκαστον δὲ αὐτῶν δυσὶ τοῦ προτέρου λειπόμενον. οἷον εἰ ὁ μέγιστος ζυγὸς ἱππέων ἢ δεκαπέντε, ἕκαστον τὸν ἐφ᾽ ἑκάτερα αὐτοῦ. δεκατρεῖς ἱππεῖς ἔχειν. τοὺς δὲ μετὰ τούτους ἐφ᾽ ἑκάτερα ἕνδεκα, καὶ ἀεὶ δυσὶ λειπομένους, ἕως εἷς καταλειφθῇ. καὶ ἡ ὅλη ἴλη γένηται ἱππέων ἑκατὸν δεκατριῶν. τὸ δὲ ἥμισυ τοῦ ῥόμβου ἔμβολον καλεῖται εἰς τρίγωνον μετασχηματιζόμενον. ὥστε ἐν ταυτῷ δεδήλωται καὶ τὸ τοῦ ἐμβόλου σχῆμα. ἄλλοι δὲ οὕτως συνέταξαν, ὥστε τοὺς ἐν τῷ ῥόμβῳ κατατεταγμένους ἱππέας, μήτε στοιχεῖν, μήτε ζυγεῖν, εὐχερεστέρας ἐν τούτῳ τῷ σχήματι τὰς ἐπιστροφὰς, καὶ διππεύσεις ὑπολαβόντες. μήτε ἐκ τῶν δεξιῶν, ἢ εὐωνύμων. μήτε ἐκ τῶν ὄπισθεν ἐμπόδιόν τι παρεχούσας. τάσσουσι δὲ πρῶτον μὲν τὸν ἰλάρχην. εἶτα τὸν ἐκ δεξιῶν τοῦ ἰλάρχου καὶ ὁμοίως τὸν ἐξ εὐωνύμων ὑποσταλκότας. ἵν᾽ ὡς ἕπομεν αἱ κεφαλαὶ τῶν ἵππων τούτων κατὰ τοὺς ὤμους τῶν προτεταγμένων ἵππων τυγχάνωσι. καὶ τὸ μὲν πρῶτον τάγμα ἐκ περισσοῦ ἀριθμοῦ ἱππέων, οἷον ἕνδεκα. τοῦ μὲν ἰλάρχου μέσου τεταγμένου. πέντε δὲ ἐφ᾽ ἑκάτερα ὑποβεβηκότων. ὥστε αὐτὸν τὸ ζυγὸν, τὰς δύο τοῦ ῥόμβου πλευρὰς παρέχειν, ὀπίσω δὲ τοῦ ἰλάρχου τετάχθαι τὸν ζυγάρχην. εἶτα ἐφ᾽ ἑκάτερα τούτου ὁμοίως ὑποβεβηκότας. ὅλον δὲ τὸν τοῦ ἑξῆς οἱονεὶ ζυγοῦ ἀριθμὸν δυάδι τοῦ προτέρου λείπειν. ὥστε ἐφ᾽ ἑκάτερα τοῦ ζυγάρχου τέσσαρας τετάχθαι, καὶ τὸν ὅλον τοῦ δευτέρου τάγματος ἀριθμὸν ἐννέα εἶναι. καὶ αὐτὸ δὲ τὸ ζυγὸν ὡσαύτως τοῖς



ἔμβολος



προσφόροις δυσὶ πλευραῖς τοῦ ῥόμβου παραλλήλους δύο πλευρὰς ποιεῖ. τὸ δὲ τρίτον ἔπεχε, καὶ οὕτω μέχρι ἑνός. καὶ γίνεται ἡ ἴλη αὕτη ἱππέων λϛ΄. τούτῳ δὲ τῷ σχήματι τῆς ἴλης κέχρηται Πολύβιος ἀνδρῶν μὲν οὖσι ξδ΄ ἐν σχήματι τοῦ λ΄, στοιχεῖν. Ἄλλαι δὲ εἰσὶν αἳ τάσσονται ἐκ στοιχούντων μὲν, οὐκέτι δὲ καὶ ζυγούντων, αἵτινες οὕτω συντάττονται. στίχον ἐποιήσαντο ἐξ ὅσων δήποτε ἱππέων, ὧν ὁ μὲν ἡγούμενος ἰλάρχης ἐστὶν, ὁ δὲ ἔσχατος οὐραγός· ἐφ' ἑκάτερα ἄλλους στίχους τάξας.





ἔκ τε τῶν δεξιῶν, καὶ εὐωνύμων μερῶν ἐν ἀριθμῷ λειπομένους, οὐ κατὰ μέσα τὰ διαστήματα, ἀφέστηκεν ἐν τῷ πρώτῳ στίχῳ ἱππεὺς ἀπὸ ἱππέως, τοῦ ἐφ' ἑκάτερα παρεστῶτος. κἂν ὦσιν οἷον ἐπὶ τῷ πρώτῳ στίχῳ δέκα ἵπποι, ἐν τῷ ἐφ' ἑκάτερα ἀνὰ ἐννέα ἔσονται. οἱ δὲ ἐν τοῖς ἔτι ἐφ' ἑκάτερα ἀνὰ ὀκτώ. καὶ οὕτω μέχρις ἑνὸς, ἀεὶ δὲ τῶν ἐν τοῖς ἐφεξῆς στίχοις, οὕτω γὰρ συμβήσεται στοιχεῖν μὲν ἀλλήλοις τοὺς ἱππέας, μηκέτι δὲ ζυγεῖν. εὔχρηστον

δὲ καὶ τοῦτο δεῖ πρὸς τὰς εἰς τὰ πλάγια γινομένας κλίσεις. ἡ δὲ εἰς τὰ εὐώνυμα ἐφ' ἡνία. Ἐὰν δὲ ἡ ἴλη ἐκ ζυγούντων μὲν, μὴ στοιχούντων δὲ γένηται, τάξομεν αὐτὴν οὕτως. τὸ μέσον ὅλης τῆς ἴλης μέγιστον ζυγὸν ἐκ περιττοῦ τοῦ ἀριθμοῦ ποιήσομεν. τοὺς δὲ ἐφ' ἑκάτερα ζυγοὺς κατὰ μέσα τὰ διαστήματα ποιήσομεν, ὡς ἐπὶ στοιχούντων ἐτάξαμεν, καὶ γενήσεται ἡ ἴλη ἐκ ζυγούντων μὲν, οὐκέτι δὲ στοιχούντων.

Τάσσονται δὲ αἱ ἴλαι, ὥσπερ τὰ ψιλὰ, ποτὲ μὲν πρὸ τῆς φάλαγγος. ποτὲ δὲ ἐκ δεξιῶν, καὶ ἐξ εὐωνύμων, ποτὲ δὲ ὀπίσω τῶν ψιλῶν ἐτάχθησαν. καὶ ἡ μὲν προειρημένη ἴλη ἱππέων ἔστω ξδ'. καὶ τὸ μὲν πρῶτον ζυγὸν, ἱππέων ιέ. τὸ δὲ ἑξῆς, ιγ. τὸ δὲ μετὰ ταῦτα ἕνδεκα. καὶ ἀεὶ τὰ ἑξῆς ζυγὰ δυσὶ τῷ ἀριθμῷ λειπόμενα μέχρι ἑνός. σημειοφορήσει δὲ ὁ ἐν τῷ δευτέρῳ ζυγῷ παρεστηκὼς ἐκ τῶν εὐωνύμων τῷ ζυγάρχῃ. ἔσονται δὲ αἱ πᾶσαι ἴλαι ξδ'. ἱππεῖς δὲ τετρακισχίλιοι ἐνενήκοντα ἕξ. καλοῦνται δὲ αἱ δύο ἴλαι, ἐπιλαρχία. ἱππέων ρχη. αἱ δὲ δύο ἐπιλαρχίαι, ταραντιναρχία, ἱππέων σνς'. αἱ δὲ δύο ταραντιναρχίαι, ἱππαρχία ἱππέων φιβ'. αἱ δὲ δύο ἱππαρχίαι, ἐφιππαρχία. ἱππέων αχδ. αἱ δὲ δύο ἐφιππαρχίαι τέλος, ἱππέων βμή. τὰ δὲ δύο τέλη, ἐπίταγμα, ἱππέων τετρακισχιλίων ἐνενήκοντα ἕξ.

Fran. Robortellus.

Numerus, & nomina singularum turmarum ipsorum equitum.

Prima turma continet equites.	64
Primum ζυγὸν *continet equites.*	14
Secundum ζυγὸν *continet equites.*	13
Tertium ζυγὸν *continet equites.*	11
Quartum ζυγὸν *continet equites.*	9
& sic deinceps demendo binos.	
Signifer in turma collocatur in secundo ζυγῷ *iuxta* ζυγάρχην *a laeua.*	
Omnes equitum turmae erunt.	64
Equites autem.	4096

Vna ἴλη *conficit vnam* ἰλαρχίαν.	
Duae ἴλαι *conficiunt vnam* ἐπιλαρχίαν, *quae continet equites.*	128
Duae ἐπιλαρχίαι *conficiunt vnã* ταραντιναρχίαν, *quae continet equites.*	256
Duae ταραντιναρχίαι *conficiunt vnam* ἱππαρχίαν, *quae continet equites.*	512
Duae ἱππαρχίαι *conficiunt vnam* ἐφιππαρχίαν, *quae continet equites.*	1024
Duae ἐφιππαρχίαι *conficiunt vnum* τέλος, *quod continet equites.*	2048
Duo τέλη *conficiunt vnum* ἐπίταγμα, *quod continet equites.*	4096

Αἱ μὲν οὖν ἐπιβολαὶ τῶν ἀρχαίων περὶ τὰς τάξεις τῶν ἰλῶν δεδηλωμέναι εἰσὶ πᾶσαι, καθ' ὁποίου σχηματισμοῦ ἕκαστοι ταύτας ἔταξαν, καὶ δι' ἃς αἰτίας ἄλλοι ἄλλως ἐχρήσαντο. Δεῖ δὲ ὡς ἐν παραδείγμασι περὶ τῶν ὅλων διαφέρουσιν ἑκάστοτε διαγραμμένην γενέσθαι τὴν παράδοσιν. ἀλλ' ἐν τοῖς καθημερινοῖς γυμνασίοις ἕκαστον τῶν σχημάτων πολλάκις δοκιμάσαντα, καὶ τὸ εὐχερέστερον, καὶ τὸ ὠφελιμώτερον γνόντα, τότε καὶ ἐπὶ τῆς ἀληθείας χρῆσθαι. εὔηθες γὰρ περὶ μὲν ἐλαττόνων πραγμάτων ἐπ' ἀκριβὲς τοὺς ἀνθρώπους εὑρίσκεσθαι διαπονοῦντας πολλὰ, καὶ ἐξετάζοντας, περὶ δὲ τούτων μὴ πρότερον τὴν ἐντελεστάτην βάσανον λαβόντας, τότε πρὸς τοὺς ἀγῶνας πορεύεσθαι. Ἔξεστι μέντοι καὶ μείζονας, καὶ ἐλάττονας τὰς ἴλας ποιεῖν. Περὶ δὲ τῆς τῶν ἁρμάτων συντάξεως, καὶ τῶν ἐλεφάντων, εἰ καὶ τὴν χρῆσιν αὐτῶν ἀπανίζουσαν εὑρίσκομεν, ὅμως πρὸς τὸ τέλειον τῆς γραφῆς τὰς ὀνομασίας ὑποθησόμεθα, αἷς κατεχρήσαντο οἱ πρὸ ἡμῶν. ἐπὶ γὰρ τοῖς ζευτικοῖς τὰ δύο ἅρματα ζυγαρχίαν ἐκάλεσαν. τὰς δὲ δύο ζυγαρχίας, συζυγίαν. τὰς δὲ δύο συζυγίας, ἐπισυζυγίαν. τὰς δὲ δύο ἐπισυζυγίας, ἁρματαρχίαν. τὰς δὲ δύο ἁρματαρχίας, κέρας. τὰ δὲ δύο κέρατα, φάλαγγα. ἔξεστι δὲ πλείοσι φάλαγξιν ἁρμάτων χρῆσθαι. ταῖς αὐταῖς ὀνομασίαις καθ' ἑκάστην φάλαγγα συγχρωμένοις. τοῖς δ' ἅρμασι οἱ μὲν ψιλῶς κατεχρήσαντο. οἱ δὲ δρεπανηφόρα κατεσκεύασαν.

Fran. Robortellus.

Nomina ordinum in curribus.

Duo ἅρματα, *seu currus, conficiunt vnam* ζυγαρχίαν.

Duæ ζυγαρχίαι *conficiunt vnam* συζυγίαν.

Duæ συζυγίαι *conficiunt vnam* ἐπισυζυγίαν.

Duæ ἐπισυζυγίαι *conficiunt vnam* ἁρματαρχίαν.

Duæ ἁρματαρχίαι *conficiunt vnam* κέρας.

Duo κέρατα *conficiunt vnam* φάλαγγα.

Τῶν ἁρμάτων *alia sunt* ψιλά. *alia sunt* δρεπανηφόρα.

Ἐπὶ δὲ τῶν ἐλεφάντων, ὁ μὲν ἑνὸς ἐλέφαντος ἄρχων, ζῴαρχος καλεῖται. ὁ δὲ τῶν δύο, θήραρχος, καὶ τὸ σύστημα θηραρχία. ὁ δὲ τῶν δ'. ἐπιθηράρχης. καὶ τὸ σύστημα ἐπιθηραρχία. ὁ δὲ τῶν η'. ἰλάρχης. καὶ τὸ σύστημα ἰλαρχία. ὁ δὲ τῶν ις'. ἐλεφαντάρχης. καὶ τὸ σύστημα ἐλεφανταρχία. ὁ δὲ λβ' κερατάρχης. καὶ τὸ σύστημα κερατταρχία. τὸ δὲ ἐκ τῶν ξδ' συνεστηκὸς φάλαγγα ὀνομάζομεν ἐλεφάντων, καὶ αὖ τις τὸν τῶν κεράτων ἡγούμενον βούληται προσονομάζειν φαλαγγάρχην.

Nomina ducum ipsorum Elephantum.

Dux vnius Elephantis vocatur	ζῴαρχος.
Dux duorum	θηριάρχης.
Dux quatuor	ἐπιθηριάρχης.
Dux octo	ἰλάρχης.
Dux sexdecim	ἐλεφαντάρχης.
Dux triginta duorum	κερατάρχης.
Dux sexaginta quatuor	φαλαγγάρχης.

Nomina turmarum Elephantum.

Turma quatuor vocatur	θηριαρχία.
Turma duorum	ἐπιθηριαρχία.
Turma octo	ἰλαρχία.
Turma sexdecim.	ἐλεφανταρχία.
Turma triginta duorum	κεραταρχία.
Turma sexaginta quatuor.	φάλαγξ.

Τὰ μὲν οὖν εἴδη τῆς τελείας δυνάμεως, καὶ τὰ ὀνόματα τῶν ἐν τούτοις συστημάτων τοῦτον ἔχει τὸν τρόπον. ὧν προδιωρισμένων, ἑξῆς περὶ τῶν ὀνομάτων χρήσιμον εἰπεῖν, ὅπως ὅταν ὁ στρατηγὸς παραγγέλλῃ τι γενέσθαι, συνεθισθέντες ἐν ταῖς ἐξοπλισίαις, τοῖς τε ὀνόμασι, καὶ ταῖς τῶν σχημάτων κινήσεσι, ῥᾳδίως τὰ προσταττόμενα ποιεῖν δύνωνται. Λέγεται δὲ ἡ μὲν τοι κλίσις. καὶ τῆς κλίσεως, ἡ μὲν ἐπὶ δόρυ, ἡ δὲ ἀσπίδα. λέγεται δέ τις καὶ μεταβολή, καὶ ἐπιστροφή, καὶ ἀναστροφή, καὶ περισπασμός. στοιχεῖν τε, καὶ ζυγεῖν. καὶ ἐπ᾽ ὀρθὴν ἀποδοῦναι, καὶ ἐξελίσσειν. καὶ διπλασιάζειν. λέγεται δὲ ἐπαγωγή. καὶ δεξιὰ παραγωγή, καὶ εὐώνυμος παραγωγή. καὶ πλαγία φάλαγξ. καὶ ὀρθία φάλαγξ. ἡ λοξὴ φάλαγξ. καὶ παρεμβολή, καὶ πρόταξις, καὶ ἔνταξις, καὶ ὑπόταξις, καὶ ἐπίταξις, καὶ πρόσταξις, ἑκάστου δὲ ὀνόματος τὴν σημασίαν διὰ συντόμου δηλώσομεν. οὐκ ἀγνοῶ δ᾽ ὅτι οὐ παρὰ πᾶσι τοῖς τακτικοῖς τὰ παραγγέλματα ταῖς αὐταῖς ὀνομασίαις δεδήλωνται. Κλίσις μὲν οὖν ἐστί, ἡ κατά ἄνδρα κίνησις. ἢ ἐπὶ δόρυ ἐπιστρέψαντος τοῦ ὁπλίτου, τουτέστιν ἐπὶ τὰ δεξιὰ μέρη. ἢ ἐπὶ ἀσπίδα. τουτέστιν ἐπὶ τὰ εὐώνυμα μέρη, ὅπερ γίνεται εὔχρηστον πρὸς τὰς ἐκ τῶν πλαγίων ἐπιφανείας τῶν πολεμίων ὑπερκεράσεως χάριν, ἢ διὰ ὑποπορείας, καὶ ἑτέρων χρειῶν, αἳ καθ᾽ ἕκαστον πρᾶγμα δηλωθήσονται. αἱ δὲ δύο ἐπὶ τὸ αὐτὸ γινόμεναι κλίσεις, ἐπεὶ τὴν κατὰ νώτου ἐπιφάνειαν τὴν ὄψιν τοῦ ὁπλίτου μετατιθέασι. καὶ τὸ τοιοῦτο καλεῖται μεταβολή. γίνεται δὲ καὶ αὕτη, ἡ μὲν ἐπὶ δόρυ. ἡ δὲ ἐπὶ ἀσπίδα, προτέρα στάσις, ἤγουν ἡ ἐξ ἀρχῆς προτέρα κλί-

σις ἐπὶ δόρυ. δευτέρα κλίσις. ἥτις καὶ μεταβολὴ λέγεται, μεταβολὴ γάρ ἐστιν ἡ εἰς τὰ ὀπίσω κατὰ ἄνδρα στροφή. ὥσπερ δέ ἐστι καθ᾽ ἕνα ὁπλίτην ἡ μεταβολή, ἔτι καὶ εἰς τὸ πᾶν σύνταγμα ὁ περισπασμός. Δύο δὲ εἰσὶ διαφοραὶ μεταβολῶν. ἡ μὲν, ἀπὸ τῶν πολεμίων. ἡ δὲ ἐπὶ τοὺς πολεμίους. ὅρος δὲ ἐστὶ τῆς μεταβολῆς, μετάληψις τῆς προϋπαρχούσης ἐπιφανείας, εἰς τὴν κατ᾽ οὐρὰν ἐπιφάνειαν. ἡ ἀπὸ ταύτης ἐπὶ τὴν ἐναντίαν. καὶ ἡ μὲν ἀπὸ τῶν πολεμίων μεταβολή, δὶς ἐπὶ δόρυ κλινάντων γίνεται. ἡ δὲ ἐπὶ τοὺς πολεμίους δὶς ἐπ᾽ ἀσπίδα. Ἐπιστροφὴ δὲ ἐστίν, ὅταν πεπυκνωμένου ὄντος τοῦ συντάγματος, καὶ μὴ δυναμένου κατ᾽ ἄνδρα, ἢ κλίσιν, ἢ μεταβολὴν ποιήσασθαι διὰ τὴν πύκνωσιν ἐπιστραφῇ ὅλον τὸ σύνταγμα ἡνωμένως, ὥσπερ πλοῖον, καὶ ἓν σῶμα μετακινούμενον ἀδιαλύτου μενούσης τῆς τάξεως. καὶ ὅτε μὲν ἐπὶ δόρυ στρέφεται, παραγγελλόμενον τὸν τῆς δεξιᾶς ἄκρας λοχαγὸν ἱστάναι ἀμετακίνητον. οἱ δὲ στρόφιγγα θύρας. τὸ δὲ λοιπὸν ἅπαν σύνταγμα περιδραμόμενον ὥσπερ θύραν τὸν τοιοῦτον λοχαγὸν ποιεῖσθαι τὴν ἐπιστροφήν. οὕτω δὲ καὶ ἐπ᾽ ἀσπίδα ἡ ἐπιστροφὴ γίνεται. Ἐπιστροφή ἐστιν, ὅταν πυκνωσάντων τὰ συντάγματα κατὰ παραστάτην, καὶ ἐπιστάτην ὅλον τὸ σύνταγμα ὡς ἑνὸς ἀνδρὸς σῶμα, ἢ ἐπὶ δόρυ. ἢ ἐπ᾽ ἀσπίδα κλίνωμεν. ὡς ἂν περὶ κέντρον τὸν πρωτοστάτην λοχαγὸν ὅλου τοῦ τάγματος περιενεχθέντος, καὶ μεταβαλόντος τόπον μὲν τὸν ἔμπροσθεν. ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν διαμενόντων ἑκάστων τῶν ἐπιστατῶν, καὶ παραστατῶν, ὅπερ πῶς γίνεται δηλώσομεν.


ἡ ἐπὶ δόρυ κλίσις τοῦ συντάγμα- τος. ἥτις λέγεται ἐπιστροφή.

ἡ ἐπ᾽ ἀσπίδα κλίσις τάγμα- τος ἥτις λέγεται ἐπιστροφή.



ἡ ἐξ ἀρχῆς τάγματος στάσις — ἡ ἐξ ἀρχῆς τοῦ τάγματος στάσις

Ἀναστροφὴ δὲ ἐστὶν ἀποκατάστασις ἐπιστροφῆς, εἰς ὃν προκατεῖχε τὸ σύνταγμα τόπον πεπυκνωμένον, πρὸ τοῦ γενέσθαι ταύτην τὴν ἐπιστροφήν. Περισπασμὸς δέ ἐστιν, ἐκ δυεῖν ἐπιστροφῶν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν τὸν ὀπίσω τόπον.


πρώτη ἐπιστροφή.
ἡ ἐξ ἀρχῆς στάσις τοῦ τάγματος
δευτέρα ἐπιστροφὴ ὁμοίως
περισπασμός.
πρώτη ἐπιστροφὴ ἐπ' ἀσπίδα ἐξ ἀρχῆς
δευτέρα ἐπιστροφὴ ὁμοίως.
στάσις τοῦ τάγματος
τρίτη ἐπιστροφὴ ὁμοίως


Ἐκπερισπασμὸς δέ ἐστι, ἡ ἐκ τριῶν ἐπιστροφῶν τοῦ τάγματος κίνησις. ὥστε μεταλαμβάνειν ἐὰν ἐπὶ δόρυ γένηται, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν. ἐὰν δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν.

πρώτη ἐπιστροφὴ ἐπὶ δόρυ.



τρίτη ἐπιστροφὴ ὁμοίως.

Στοιχεῖν δὲ λέγεται ἕκαστον ἄνδρα ἐν τῷ ἑαυτοῦ λόχῳ τὸ ἐπ' εὐθείας εἶναι τῷ λοχαγῷ, καὶ τῷ οὐραγῷ, φυλάσσοντας τὰ ἴσα ἀπ' ἀλλήλων διαστήματα. Ζυγεῖν δὲ τὸ ἐπ' εὐθείας εἶναι κατὰ μῆκος τῆς ἐν τῷ λόχῳ, τῷ ζυγοῦντι αὐτῷ, οἱ λοχαγοὶ πάντες. τῷ δὲ τοῦ λοχαγοῦ ἐπιστάτῃ, οἱ τῶν ἄλλων λοχαγῶν ἐπιστάται. καὶ κατὰ τὸ ἑξῆς οὕτως. Ἐπ' ὀρθὸν δὲ ἀποδοῦναι ἐστὶ τὸ εἰς τὴν προκατεστῶσαν ἀπ' ἀρχῆς τοῦ ὁπλίτου ἐπιφάνειαν, ἀποκαταστῆσαι τὴν ὄψιν. οἷον ἐάν τε ἐπὶ τοὺς πολεμίους τεταγμένος κελευσθῇ ἐπὶ δόρυ κλῖναι, εἶτα παραγγείλῃ εἰς ὀρθὸν ἀποκαταστῆσαι, δεήσει πάλιν ἐπὶ τοὺς πολεμίους τετράφθαι.




Ἐξελιγμῶν δέ ἐστι γένη δύο, τὸ μὲν κατὰ λόχους, τὸ δὲ κατὰ ζυγούς. εἴδη δὲ αὐτῶν ἑκάστου τρία. καλεῖται γὰρ ὁ μὲν μακεδών. ὁ δὲ λάκων. ὁ δὲ, χορεῖος. ὁ δ' αὐτὸς περσικός. Μακεδὼν μὲν οὖν ἐστι, ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ἔμπροσθεν τόπον. ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας, τὴν ὄπισθεν. Λάκων δὲ, ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ὀπίσω τόπον. ὁμοίως δὲ ἀντὶ τῆς ἔμπροσθεν ἐπιφανείας τὴν ὄπισθεν. Ὁ δὲ περσικός, καὶ κρητικός, καὶ χορεῖος. οὗτος δὲ τὸν αὐτὸν τόπον ἐπέχει τῆς φάλαγγος τῆς κατὰ μῆκος ὁπλιτῶν, ἀνθ' ὧν προκατεῖχον τούτων ἑτέρους μεταλαμβανόντων, τοῦ μὲν λοχαγοῦ τὸν τοῦ οὐραγοῦ. ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας τὴν ὄπισθεν. Οἱ δὲ κατὰ ζυγοὺς ἐξελιγμοὶ γίνονται, ὅταν ἐπὶ τῶν ἀποτομῶν βούληταί τις τὰ κέρατα καθιστάναι, τὰς δὲ ἀποτομὰς ἐπὶ τῶν κεράτων, χώραν τε τὰ μέσα ἰσχυροποιεῖσθαι. καὶ ὁμοίως τὰ δεξιὰ τοῖς εὐωνύμοις, καὶ τὰ εὐώνυμα τοῖς δεξιοῖς. οἱ δὲ φυλασσόμενοι κατὰ μείζονα μέρη τοὺς ἐξελιγμοὺς ποιεῖσθαι ἐγγὺς ὄντων τῶν πολεμίων κατὰ τὰ συντάγματα. τὸν δὲ τρόπον τῶν ἐξελιγμῶν ὡς δεῖ γίνεσθαι ἀποδείξομεν. Μακεδὼν λέγεται. ὅταν ὁ λοχαγὸς μεταβάλληται. οἱ δὲ λοιποὶ πάντες ἀντιπαρέλθωσιν αὐτὸν ἐπ' ἀσπίδα σὺν τῷ οὐραγῷ, καὶ πρὸς ὃν εἶχεν ἔμπροσθεν ἡ φάλαγξ τόπον τὸ πρότερον ἀπελθόντες ὦσι συντεταγμένως εἰς τὴν τοῦ λοχαγοῦ αὐτῶν ἀποκατάστασιν. διὸ καὶ φυγῆς φαντασίαν παραδείκνυσι τοῖς ὄπισθεν ἐπιφανεῖσι πολεμίοις. Ὁ μὲν οὖν κατὰ στίχον ἐξελιγμὸς μακεδὼν προαγομένου γίνεται, ὅταν ὁ λοχαγὸς μεταβάλληται, οἱ δὲ ὀπίσω ἐκ διαστάσεως παραπορευόμενοι ἐφεξῆς ἀλλήλων ἵστανται. Ὁ δὲ λάκων γίνεται, ὅταν ὁ οὐραγὸς μεταβάλληται. οἱ δὲ λοιποὶ πάντες καὶ αὐτοὶ

μεταβαλλομένοις, καὶ ἀντιπαρελθόντας μετὰ τοῦ λοχαγοῦ παραχωρῶσιν εἰς ὃν πρότερον ἡ φάλαγξ τόπον ὄπισθεν εἶχεν. διὸ ἐπιδιώξεως φαντασίαν ἐμποιεῖ τοῖς ἐπιφανεῖσι πολεμίοις. Ἰστέον ὅτι διπλασιάζεται ἡ φάλαγξ, ἢ προσώποις, ἢ τόπῳ. ὅτε γοῦν ἀπὸ τοῦ βάθους τοὺς ἡμίσεις ὁπλίτας, εἰς λόχους ποιήσαντες συντάξομεν μετὰ τῶν λοιπῶν ἐπὶ μῆκος, ὥστε γίνεσθαι τοὺς λόχους ἀντὶ τῶν α κ δ΄. β μ η΄, τότε διπλασιασμὸς προσώπων ἐστίν. ὡσαύτως καὶ τόπῳ διπλασιάζομεν, διὰ μόνων τῶν α κ δ. λόχων, παραγγείλαντες τοὺς μὲν ἐπὶ δόρυ κλίνειν, τοὺς δὲ ἐπ᾽ ἀσπίδα, ἕως εἰς τὸ ἁρμόζον μῆκος ἐπεκταθῇ ἡ φάλαγξ. ὡς ἀντὶ σταδίων ε΄, ἐπεκταθῆναι εἰς σταδίους ι΄. τῷ δὲ αὐτῷ τρόπῳ διπλασιάζεται καὶ τὸ βάθος. ὁ γὰρ λόχος λόχῳ ἐντάσσεται, ἀντὶ ἐς τὴν ἀρχ. ὥστε εἶναι τὸν λοχαγὸν τοῦ δευτέρου λόχου ἐπιστάτην τοῦ λοχαγοῦ τοῦ πρώτου λόχου. τὸν δὲ δεύτερον τοῦ δευτέρου λόχου δ΄ καὶ καθεξῆς ὥστε γίνεσθαι ἕκαστον λόχον ἀντὶ ἀνδρῶν λβ΄. ἢ μόνους τοὺς ις΄ ἄνδρας ἐπεκτεινομένους εἰς λβ΄ ἀνδρῶν τόπον. Λάκων δὲ αὖ, ὅταν ὁ λοχαγὸς μεταβαλλόμενος ἐκ δόρατος ὅλον τὸν λόχον μεταγάγῃ εἰς ἄλλον αὐτοῦ ἴσον τόπον οἱ δὲ λοιποὶ ἀκολουθοῦντες ἐφεξῆς αὐτῷ τάσσονται. ἢ ὅταν μὲν ὁ οὐραγὸς μεταβάλληται, ὁ δὲ ὀπίσω αὐτοῦ τεταγμένος ἐκ δόρατος τοῦ οὐραγοῦ παραπορευόμενος προτάσσεται τοῦ οὐραγοῦ, καὶ οἱ λοιποὶ ὁμοίως ἀκολουθοῦντες ἄλλος πρὸ ἄλλου τάσσονται, ἕως ἂν ὁ λοχαγὸς προστατήσῃ. Ὁ δὲ χορεῖος γίνεται, ὅταν ὁ λοχαγὸς μεταβαλλόμενος ἐκ δόρατος προάγῃ τοῦ λόχου, οἱ δὲ λοιποὶ ἐπακολουθῶσιν, ἕως ἂν ὁ λοχαγὸς σχῇ τὸν τοῦ οὐραγοῦ τόπον, ὁ δὲ οὐραγὸς τὸν τοῦ λοχαγοῦ. καὶ οὗτοι μὲν κατὰ λόχους γίνονται. τῷ δὲ αὐτῷ τρόπῳ καὶ οἱ κατὰ ζυγὰ γίνονται, ἐάν τε κατὰ τάγμα ἐξελίσσειν τις βούληται, ὥστε ὁποῖον δήποτ᾽ οὖν τάγμα ἢ τὸν ἐν αὐτῇ τῇ βάσει τόπον κατέχον ἐξελίσσει, ἢ τὸν τοῦ ἐν δεξιᾷ τάγματος μεταλάβῃ τόπον, ἢ τὸν τοῦ ἐξ εὐωνύμων, οὐδὲν γὰρ τῶν προειρημένων διοίσει.


Fran. Robortellus.

διπλασιασμὸς { προσώπου / τόπῳ

διπλασιασμὸς τόπῳ



διπλασιασμὸς προσώπου



Fran. Robortellus.

ἐξελιγμὸς { κατὰ λόχους. { μακεδὼν / λάκων / χόρειος { περσικός / κρητικός
κατὰ ζυγά

Διπλασιασμῶν δὲ ἔστι γένη δύο, ἤτοι κατὰ ζυγά, ἢ κατὰ βάθος. τούτων δὲ ἑκάτερον, ἢ τῷ ἀριθμῷ διπλασιάζεται, ἢ τῷ τόπῳ. τῷ ἀριθμῷ μὲν γὰρ διπλασιάζεται τὸ μῆκος, ἐάν τι χιλίων κδʹ. β μ ηʹ. ποιῆσαι βουλώμεθα ἐν τ᾽ αὐτῷ τῷ τόπῳ τοῦ μήκους παρεμβάλλοντας εἰς τὰ μεταξὺ τῶν ὁπλιτῶν διαστήματα ἐκ τῶν ἐν τῷ βάθει ἐπιστατῶν. τόπῳ δὲ γίνεται, ὅταν πυκνῶσαι τὸ μῆκος βουληθῶμεν.

Fr. Robortellus.

διπλασιασμὸς	κατὰ ζυγά, ἢ μῆκος
	κατὰ βάθος

Ἀποκαταστῆσαι δὲ ὅταν βουληθῶμεν, παραγγελοῦμεν ἐξελίσσειν τοὺς μετὰ τεταγμένους, εἰς οὓς πρότερον τόπους, ἔνιοι δὲ τοὺς τοιούτους διπλασιασμοὺς ἀποδοκιμάζουσι, καὶ μάλιστα ἐγγὺς ὄντων τῶν πολεμίων. τοὺς δὲ ψιλοὺς ἐφ᾽ ἑκάτερα τῶν κεράτων ἐπεκτείνοντες, καὶ ὁμοίως τοὺς ἱππέας, τὴν ὄψιν τοῦ διπλασιασμοῦ οὕτως γενέσθαι παραγγέλλουσι, χωρὶς διπλασιασμοῦ τῆς φάλαγγος οὔπω συντασσομένης. Διπλασιάζεται δὲ τὸ μῆκος τῆς φάλαγγος, ὅταν ἤτοι ὑπερκεράσαι τοὺς πολεμίους βούλονται, ἢ αὐτοὶ ὑπερκερασθῆναι προσδοκῶσι. Τὸ δὲ βάθος διπλασιάζεται τοῦ δευτέρου λόχου τῷ πρώτῳ ἐπιτασσομένου. ὥστε τὸν τοῦ δευτέρου λόχου λοχαγόν, ὀπίσω τάσσεσθαι τοῦ ἐν τῷ πρώτῳ λόχῳ λοχαγοῦ. τὸν δὲ ἐν τῷ δευτέρῳ δεύτερον τοῦ πρώτου λόχου τέταρτον ταχθῆναι. τὸν δὲ τοῦ δευτέρου γʹ, τοῦ πρώτου, ςʹ ταχθῆναι. καὶ οὕτως κατὰ τὸ ἑξῆς. ὡς αὖ ὅλος ὁ δεύτερος λόχος, κατὰ τὸν πρῶτον ταγῇ. καὶ ὁμοίως ὁ τέταρτος λόχος εἰς τὸν τρίτον. καὶ πάντες οἱ ἄρτιοι λόχοι εἰς τοὺς περιττούς. καὶ οὗτος μὲν ὁ διπλασιασμὸς γίνεται, ἐὰν ἐξελιγμὸς γένηται. ἤτοι τῶν παρατεθέντων ἐξελιξάντων εἰς τὸν ὀπίσω τόπον ἀπὸ τοῦ ἔγγιστα τῷ λοχαγῷ παρατεθέντος, καὶ τῶν ἄλλων τῶν ὁμοίως παρατεθέντων ἐπακολουθούντων, ἢ καὶ διαμένοντος τοῦ ἐξ ἀρχῆς ἀριθμοῦ τοῦ στίχου, οἱ ἡμίσεις ἐξελίξαντες τὸν τοῦ βάθους τόπον διπλασιάσωσιν. ἀποκαταστῆσαι δὲ ὅταν βουληθῶμεν εἰς τὰς προτέρας τάξεις, τοὺς ἐπιτεταγμένους ἀνακαλεσόμεθα εἰς τοὺς ἰδίους λόχους.

Πλαγία δέ ἐστι φάλαγξ, ἥτις ἔχει τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον.


Ὀρθία δέ, ὅταν ἐπὶ κέρας πορεύηται πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ μήκους. καθόλου δὲ παραμήκης λέγεται, πᾶν σχῆμα ὃ αὖ τὸ μῆκος ἔχει πλεῖον τοῦ βάθους. ὄρθιον δέ, ὃ αὖ τοῦ μήκους τὸ βάθος. ὡσαύτως δὲ καὶ φάλαγξ. Λοξὴ δέ, ἣ τὸ μὲν κέρας ὁπότερον αὖ προαιρεῖται. πλησίον τῶν πολεμίων ἔχουσα, καὶ ἐν αὐτῷ τὸν ἀγῶνα ποιουμένη. τὸ δὲ ἕτερον ἐν ἀποστάσει δι᾽ ὑπομονῆς ἔχουσα.

Fran. Robortellus.

φάλαγξ { πλαγία / ὀρθὴ / λοξὴ }

Fran. Robortellus.





Παρεμβολὴ δέ ἐστιν, ὅταν προτεταγμένων τινῶν, εἰς τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων καθιστῶνται αὐτοῖς ἐπ' εὐθείας. Πρόταξις λέγεται δὲ τὸ τοὺς ψιλοὺς προάγειν τῆς τῶν ὁπλιτῶν φάλαγγος, ὡς καὶ προστάτης ὁ λοχαγός. Τὸ δὲ ὄπισθεν αὐτοὺς εἶναι, ἐπίταξις λέγεται, ὡς ἐπίστασις

τὸ ὄπισθεν. Πρόσταξις δὲ ἐστὶν, ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως ἢ ἐκ τοῦ ἑνὸς προστεθῇ τι μέρος πρὸς τὴν αὐτὴν τῇ φάλαγγι ἐπιφάνειαν, ἡ τοιαύτη προσένταξις τῆς φάλαγγος πρόσταξις καλεῖται. Ἔνταξις δ' ἐστὶν, ἐάν τις προαιρεῖται τοὺς ψιλοὺς εἰς τὰ διαστήματα τῆς φάλαγγος τάσσειν ἄνδρα παρ' ἄνδρα. Ὑπόταξις δὲ ἐστὶν, ἐάν τις τοὺς ψιλοὺς ὑπὸ τὰ κέρατα τῆς φάλαγγος ὑποτάσσῃ, ἐπικαμπίου τάξιν ἔχοντα, ὥστε τὸ ὅλον τὸ σχῆμα τριπυλοειδὲς εἶναι.

Fran. Robortellus.

Nomina quarundam insertionum, quæ fiunt in acie.

παρεμβολή.
παρένταξις.
πρόσταξις.
ἔνταξις.
ὑπόταξις.

Quomodo fiant vide in contextu, nam satis verbis expressa sunt, etiam si pictura non exprimantur.

ἐπὶ δόρυ κλῖναι, *idest* ἐπὶ δεξιόν.
ἐπ' ἀσπίδα κλῖναι, *idest* ἐπὶ τὸ εὐώνυμον.

Nomina motionum quarundam, quæ fiunt in acie.

ἀποκαταστῆσαι.
εἰς ὀρθὸν ἀποδοῦναι.

Declarantur in contextu, nec satis picturâ possunt exprimi.

Ἑπόμενον δ' ἂν εἴη δηλῶσαι, πῶς τὰ συντάγματα δεῖ ἐπιστρέφειν, καὶ πῶς ἀποκαθιστάναι εἰς τὴν προϋπάρχουσαν τάξιν. Ἐπὶ δόρυ μὲν οὖν ὅταν ἐπιστρέφειν τὰ συντάγματα ἐθίζειν βουλώμεθα, παραγγέλλεται τὸν ἐπὶ τοῦ δεξιοῦ λόχου ἡσυχίαν ἔχειν, ἕκαστον δὲ τὸν ἐν τοῖς λόχοις ἐπὶ δόρυ κλίναντα, παράγειν τὰ ἐπὶ τὸ δεξιόν, εἶτα εἰς ὀρθὸν ἀποδοῦναι, εἶτα παράγειν τὰ ὀπίσω ζυγά. καὶ ταύτης γενομένης τῆς πυκνώσεως, ἐπὶ δόρυ ἐπιστρέφειν. Ὅταν δὲ τοῦτο γένηται, καὶ ἀποκαταστῆσαι πάλιν τὸ σύνταγμα δέον ἐπὶ τὴν ἐξ ἀρχῆς τάξιν, τάδε παραγγέλλεται. ἐπ' ἀσπίδα μεταβάλλεσθαι, τουτέστιν ἐπὶ τὸν ἐναντίον τόπον ἕκαστον νεύειν, εἶτα ἀναστρέφειν ὅλον τὸ σύνταγμα, τουτέστιν ὡς τὸ πυκνωθὲν ἐπεστράφη, καὶ εἰς τὰ δεξιὰ μέρη ἐνέβλεψεν, οὕτως ὅλον μεταστῆναι ἐπὶ τὸν τόπον, ἀφ' οὗ τὴν ἐπιστροφὴν ἐποιήσατο. εἶτα οἱ λοχαγοὶ ἠρεμείτωσαν, οἱ δὲ λοιποὶ κατὰ ζυγὰ παραγέτωσαν. εἶτα μεταβαλέσθωσαν, ὥστε νεύειν ἐφ' ἃ ἐξ ἀρχῆς ἔβλεπον. εἶτα ἑκάστου συντάγματος

ὁ ἐπὶ

ὁ ἐπὶ τοῦ δεξιοῦ λόχου ἠρεμάτω, οὗτος γὰρ ἤδη τὴν ἰδίαν ἔχει τάξιν, οἱ δὲ λοιποὶ πάντες ἐπ' ἀσπίδα κλινέτωσαν, καὶ περιαγέτωσαν, ἀποκαθιστάσθωσαν αὖθις, καὶ τὴν τάξιν, ἣν προεῖχε, ἕκαστος ἀπείληφεν. Ἐὰν δὲ ἐπ' ἀσπίδα βουλώμεθα ἐπιστρέφειν τὰ συντάγματα, παραγγέλλομεν ἑκάστου συντάγματος τὸν ἐπὶ τοῦ εὐωνύμου λόχου ἠρεμεῖν, τῶν λοιπῶν δὲ ἕκαστον ἐπ' ἀσπίδα κλίνειν, καὶ περιάγειν ἐπὶ τὸ εὐώνυμον. εἶτα εἰς ὀρθὸν ἀποδοῦναι. εἶτα περιάγειν τὰ ὀπίσω ζυγά. εἶτα ἐπ' ἀσπίδα ἐπιστρέφειν. καὶ γέγονε τὸ παραγγελθέν. Ἀποκαταστῆσαι δὲ ἐὰν βουλώμεθα, τὰ ὅμοια ποιήσομεν, ὅτι ἐπὶ δόρυ ἐπιστρέψαντες καθιστάνομεν, πάλιν γὰρ ἕκαστος μεταβαλλέσθω ἐπὶ δόρυ. εἶτα τὸ σύνταγμα ἀναστρεψάτω. εἶτα οἱ λοχαγοὶ ἠρεμείτωσαν. εἶτα μεταβαλλέσθωσαν, οἱ δὲ λοιποὶ κατὰ ζυγὰ περιαγέτωσαν. εἶτα ὁ ἐπὶ τοῦ εὐωνύμου λόχος ἡσυχίαν ἐχέτω, ἤδη γὰρ ἕκαστος αὐτῶν εἰς ἣν προεῖχε τάξιν ἀποκατέστη, ὁ λοιπὸς ἐπὶ δόρυ κλίνας περιαγέτω, ἕως ἀποκαταστῶσιν εἰς τάξιν τὰ διαστήματα. εἶτα εἰς ὀρθὸν ἀποδότω, καὶ πάντες ἕξουσι τὴν ἐξ ἀρχῆς τάξιν. Ἐὰν δὲ ἐπὶ δόρυ περισπᾶν βουλώμεθα τὰ συντάγματα, δύο ποιήσομεν τοῦ συντάγματος ἐπὶ τὸ αὐτὸ ἐπιστροφάς, καὶ συμβήσεται τοὺς λοχαγοὺς ἀπὸ τῆς εἰς τὸ ἔμπροσθεν νεύσεως εἰς τὸ ὄπισθεν ἐν τῇ μεταβάσει τῶν συνταγμάτων νεύειν. Ἀποκαταστῆσαι δὲ ὅταν βουληθῶμεν τὰ συντάγματα, παραγγέλλομεν ἔτι ἐπὶ δόρυ περισπᾶν τὸ σύνταγμα, τουτέστιν, ἄλλας δύο ἐπιστροφὰς δώσομεν ἐπὶ αὐτὰ μέρη τῷ συντάγματι, καὶ οὕτως συμβήσεται τοὺς λοχαγοὺς ἔχειν νεύοντας ἐφ' ἃ ἐξ ἀρχῆς εἶχον, πρὶν ὅλως περισπασμὸς γένηται. τούτων δὲ γινομένων παραγγέλλομεν τοὺς λοχαγοὺς ἠρεμεῖν, τοὺς δὲ λοιποὺς μεταβαλλομένους ἐνιστάναι ὀπίσω ζυγά. εἶτα πάλιν μεταβάλλεσθαι, καὶ ἑκάστου συντάγματος τὸν ἐπὶ τοῦ δεξιοῦ λόχου ἠρεμεῖν, ἔχει γὰρ τὴν ἐξ ἀρχῆς ἀποκατάστασιν, τοὺς δὲ λοιποὺς ἐπ' ἀσπίδα κλίναντας περιάγειν, καὶ ἀποκαθιστάναι τὸ ἐξ ἀρχῆς διάστημα, εἶτα εἰς ὀρθὸν ἀποδοῦναι, καὶ οὕτως εἰς τὴν ἐξ ἀρχῆς ἀποκατάστασιν τὰ συντάγματα καταστήσονται. Ἐὰν δὲ ἐπ' ἀσπίδα βουληθῶμεν περισπᾶν τὰ συντάγματα, τοῖς ἐναντίοις παραγγέλμασι χρησόμεθα, τουτέστιν ἀντὶ τοῦ ἐπὶ δόρυ δὶς ἐπιστρέφειν, ἐπ' ἀσπίδα περισπασμὸν γίνεσθαι, εἶτα δὶς ἐπ' ἀσπίδα περισπασθέντας, ταῖς ὁμοίαις ἀγωγαῖς χρήσασθαι. Ἔστι δέ τις καὶ ἐκπερισπασμός, ὅταν τὸ σύνταγμα τρὶς ἐπὶ τὸ αὐτὸ μέρος ἐπιστρέψῃ τις, τουτέστιν ἐπὶ δόρυ, ἢ ἐπ' ἀσπίδα. Ποιεῖ δὲ ὁ ἐπὶ δόρυ περισπασμὸς τὴν ὄψιν τῶν ὁπλιτῶν ἀπὸ τῆς ἔμπροσθεν νεύειν κατόπιν. ὁ δὲ ἐκπερισπασμὸς ἀπὸ τῆς ἔμπροσθεν, ἐπὶ τὰ εὐώνυμα νεύειν. ὁ δὲ ἐπ' ἀσπίδα ἐκπερισπασμὸς ἀπὸ τῆς ἔμπροσθεν ἐπὶ τὰ δεξιὰ νεύειν.

Fr. Robortellus.

περισπᾶν καὶ ἐκπερισπᾶν { ἐπὶ ἀσπίδα. / ἐπὶ δόρυ.

Ἐὰν δὲ ἐπὶ τὸ δεξιὸν μέρος τὴν φάλαγγα βουλώμεθα πυκνῶσαι, παραγγελοῦμεν τὸν ἐπὶ τοῦ δεξιοῦ κέρατος λόχον ἠρεμεῖν, τοὺς δὲ λοιποὺς ἐπὶ δόρυ κλίναντας, προάγειν ἐπὶ τὸ δεξιόν. εἶτα εἰς τὸ ὀρθὸν ἀποδοῦναι, καὶ προσάγειν τὰ ὀπίσω ζυγά. Ἀποκαταστῆσαι δὲ ὅταν βουλώμεθα, παραγγελοῦμεν τοὺς λοχαγοὺς ἡσυχίαν ἔχειν, τοὺς δὲ λοιποὺς μεταβαλλομένους ἀνιέναι ὀπίσω ζυγά. εἶτα πάλιν μεταβάλλεσθαι. εἶτα τὸν ἐπὶ τοῦ δεξιοῦ κέρατος λόχον ἡσυχίαν ἄγειν, ἤδη γὰρ εἰς τὰ δεξιὰ ἀποκατέστη, οἱ δὲ λοιποὶ ἐπ' ἀσπίδα κλίναντες ἀκολουθήσουσι τοῖς ἡγουμένοις, καὶ τὰ ἐξ ἀρχῆς συντηρήματα διαστήσαντες εἰς ὀρθὸν ἀποδώσουσιν. Ἐὰν δὲ ἐπὶ τὸ εὐώνυμον κέρας βουληθῶμεν πυκνῶσαι τὴν φάλαγγα, τοῖς ἐναντίοις παραγγέλμασι χρησόμεθα. ἐὰν δὲ ἐπὶ μέσην τὴν φάλαγγα πυκνῶσαι βουληθῶμεν, παραγγελοῦμεν τὴν δεξιὰν διφαλαγγίαν ἐπ' ἀσπίδα κλίνειν, τὴν δὲ εὐώνυμον ἐπὶ δόρυ. εἶτα προσαγαγόντες ἐπὶ μέσην τὴν φάλαγγα, εἶτα πάντας εἰς ὀρθὸν ἀποδόντες, καὶ προσαγαγόντες ὀπίσω ζυγά. ἀποκαταστῆσαι δὲ ὅταν βουλώμεθα τὴν φάλαγγα εἰς τὴν ἐξ ἀρχῆς τάξιν, παραγγελοῦμεν μεταβάλλεσθαι, καὶ προάγειν κατὰ ζυγὰ χωρὶς τοῦ πρώτου ζυγοῦ. εἶτα πάλιν πάντας μεταβάλλεσθαι, καὶ τὴν μὲν δεξιὰν διφαλαγγίαν ἐπὶ δόρυ κλῖναι, τὴν δὲ εὐώνυμον ἐπ' ἀσπίδα, εἶτα ἀκολουθεῖν τοῖς ἡγουμένοις, μέχρις ἂν εἰς τὰ ἐξ ἀρχῆς συνέλθωσι διαστήματα εἶτα εἰς ὀρθὸν ἀποδοῦναι. Ἐπεὶ πασῶν μέντοι τῶν μεταβολῶν ὅταν ἐκ πυκνώσεων γίνωνται, δεῖ τὰ δόρατα ἄνω ἔχειν, πρὸς τὸ μὴ στραφέντος τοῦ ὁπλίτου, ἐμποδὼν αὐτὰ γίνεσθαι, ταῖς δ' αὐταῖς ἀγωγαῖς παιδεύομεν καὶ τοὺς ψιλούς.

Fran. Robortellus.

πυκνῶσαι	ἐπὶ τὸ κέρας δεξιὸν
	ἐπὶ μέσην φάλαγγα
	ἐπὶ τὸ εὐώνυμον

Αὗται μέντοι αἱ παραγγελίαι τῶν μεταβολῶν, καὶ ἐπιστροφῶν καὶ περισπασμῶν, καὶ ἀποκαταστάσεων χρειώδεις εἰσὶ πρὸς τὰς αἰφνιδίους τῶν πολεμίων ἐπιφανείας ἐκ δεξιῶν τῆς πορείας τῶν πολεμίων ἐπιφανέντων ἢ ἐξ εὐωνύμων, ἢ ἔμπροσθεν, ὁμοίως δὲ καὶ τὸν ἐξελιγμόν. Τὸν μὲν οὖν μακεδονικὸν ἐξελιγμὸν φασὶ μακεδόνας εὑρεῖν. λακεδαιμονίους δὲ, τὸν λακωνικόν. καὶ διὰ τοῦτο τῶν ὀνομάτων τῶν εἰρημένων ἕκαστον αὐτῶν τυχεῖν, ἱστόρηται μὲν φίλιππον τὸν αὐξήσαντα τῶν μακεδόνων τὴν ἀρχὴν, τοὺς ἕλληνας μάχῃ νικήσαντα περὶ χαιρώνειαν, καὶ τὴν ἡγεμονίαν τῆς ἑλλάδος λαβόντα. ἀλέξανδρον δὲ τὸν υἱὸν αὐτοῦ καὶ τῆς ἀσίας ὀλίγῳ χρόνῳ κρατήσαντα τὸν μὲν μακεδονικὸν ἐξελιγμὸν ὑποδεῖξαι, εἰ μήπου καὶ τοῦτον ἡ χρεία προσεβιάσατο. τῷ δὲ λακωνικῷ χρησάμενον ἀμφοτέροις τῶν πολεμίων κατακρατῆσαι. ὁ μὲν γὰρ μακεδονικὸς ἐξελιγμὸς προσπιπτόντων τῶν πολεμίων ἐκ τῶν ὄπισθεν, ἐποιεῖτο πολλὴν ταραχήν. τῶν μὲ

ἀπὸ τοῦ οὐραγοῦ, εἰς τὸν ὄπισθεν τοῦ λοχαγοῦ τόπον ἐκπεριπορευομένων, καὶ φυγῇ παραπλήσιόν τι ποιούντων, θαρραλεωτέρους μὲν ποιεῖ τοὺς πολεμίους. κατάπληξις δὲ καὶ διωγμὸς τοῖς οὕτως ἐξελίξασι παρὰ τῶν πολεμίων ἀκολουθεῖ. ὁ δὲ λακωνικὸς τὸ ἐναντίον τούτῳ παρέχει, ὅπισθεν γὰρ ἐπιφαινομένων τῶν πολεμίων, καὶ τῶν ἡγεμόνων σὺν τοῖς ἐπακολουθοῦσιν ἐφορμώντων, καὶ ὑπ' αὐτῶν τῶν τοῖς πολεμίοις, ἰσχυρὰ τοῖς πολεμίοις δειλία γίνεται. δεῖ δὲ ἐθίζειν τὰς δυνάμεις τὰς πεζικὰς, καὶ τὰς ἱππικὰς τὰ μὲν φωνῇ, τὰ δὲ διὰ σημείων ὁρατῶν, ἵνα καθ' ἑκάστην ἐπιτηδειότητα τὸ προσῆκον γένηται, ἔνια δὲ καὶ διὰ τῆς σάλπιγγος παραγγέλλεσθαι προσήκει. οὕτως γὰρ πᾶσα ἐπίταξις εὐυπηρετηθήσεται. σαφέστερα μὲν οὖν ἐστι τὰ διὰ τῆς φωνῆς μηνυόμενα, ἐάν γε μηδὲν ἐμπόδιον αὐτῇ ᾖ. ἀθορυβότερα δὲ τὰ διὰ τῶν σημείων, ὅταν μὴ δὲ τούτοις τυγχάνῃ τι τὸ ἐπισκοτοῦν. τὰ δὲ διὰ τῆς φωνῆς ἐνίοτε δυσεξάκουστα γίνεται, ἢ διὰ ψόφον ὅπλων, καὶ δυνάμεως ἱππικῆς περιπατήσεων, καὶ χρεμετισμῶν ἵππων, καὶ θόρυβον σκευοφόρων, καὶ τὸ πλήθους παντὸς ἦχον. καὶ τὰ διὰ τῶν σημείων δὲ ἄπορα πολλαχῇ γίνεται διά τε παχύτητα ἀέρος, καὶ κονιορτὸν, καὶ ὕδατα, καὶ νιφετὸν, καὶ ἡλίου ἀνταύγειαν. ἔτι δὲ τόπους ἀνωμαλεῖς, καὶ καταδένδρους, καὶ καμπὰς ἔχοντας. ἐνίοτε δὲ οὐκ ἔστιν εὔπορον πρὸς πᾶσαν χρείαν εὑρέσθαι σημεῖα, τῶν καιρῶν καινὰ πολλάκις εὑρισκόντων. οἷς τις οὐ προσείθισται. οὐ μέντοι ἅμα πάντα συμπεσεῖν δύναται. ὥστε ἄδηλον εἶναι ἢ φωνῆς, ἢ σημείων τὸ παράγγελμα.

Fran. Robortellus.


- σημείων
  - φωνικὰ
    - σάλπιγγος
    - βοῆς
  - ὁρατὰ

Περὶ πορειῶν μέλλοντας λέγειν τοῦτο προειρήκαμεν. ὅτι ἡ μὲν ἐν ταῖς πορείαις ἐστὶν ὀρθία ἐπαγωγὴ, ἡ δὲ παραγωγὴ ἢ ἐν δεξιᾷ, ἢ ἐν εὐωνύμῳ, καὶ ἢ ἐν μονοπλεύρῳ, ἢ διπλεύρῳ, ἢ τῷ τετραπλεύρῳ τάγματι βαδίζεται. μονοπλεύρῳ μὲν, ὅταν ἕνα φοβῆται, διπλεύρῳ δὲ, ὅταν δύο. τριπλεύρῳ δὲ, ὅταν τρία. τετραπλεύρῳ δὲ ὅταν πάντοθεν οἱ πολέμιοι ἐπιτίθεσθαι θέλωσι. καὶ διὰ τοῦτο γίνονται αἱ πορεῖαι ποτὲ μὲν μονοφαλαγγία, ποτὲ δὲ διφαλαγγία, ἢ τριφαλαγγία, ἢ τετραφαλαγγία. καὶ ἐπαγωγὴ ὀρθία μὲν ἐστιν, ὅταν τάγμα τάγματι ἐπακολουθῇ. οἷον ξεναγίας προηγουμένης, αἱ λοιπαὶ ξεναγίαι ἕπωνται, ἢ τετραρχίας προπορευομένης, αἱ λοιπαὶ ἐπακολουθῶσι κατὰ τάγμα. καλεῖται δὲ οὕτως, ὅταν ἐπὶ κέρας πορεύηται πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ μήκους, ἔχει δὲ τὸ τάγμα δύο λόχους ἀπὸ δέκα ἀνδρῶν. πρὸς ταύτην ἀντιπαρέπεται ὁ κοιλέμβολος. γίνεται δὲ οὕτως. ὅταν ἡ ἀντίστομος διφαλαγγία τὰ μὲν ἡγούμενα κέρατα διαστήσῃ, τὰ δὲ ἑπόμενα συνάψῃ,


ἐν σχήματι τοῦ υ στοιχείου, ὡς διδάσκει ὑμᾶς ἡ καταγραφὴ ἔχουσα τὰ μὲν πρόσω διεστῶτα, τὰ δὲ πλευταίοις συνημμένοις. Τῆς γὰρ ὀρθίας ἐπαγωγῆς κατὰ τὸ μέσον τῆς ἐχθρῶν φερομένης ἑτοίμως ἔχουσιν οἱ τοῦ κοιλεμβόλου διαλυσάντων τὴν ἕνωσιν κενῶσαι μὲν τὴν προσβολὴν τῆς προτης δυνάμεως, χωρῆσαι δὲ κατὰ τῶν πλαγίων μερῶν τῆς ὀρθίας ἐπαγωγῆς. οὐ μὴν ἀλλὰ καὶ ἡ τετραφαλαγγία ἀντιπαρατάττεται τῷ κοιλεμβόλῳ. τῆς μὲν μιᾶς φάλαγγος μαχομένης τῷ ἑνὶ κέρατι. τῆς δὲ δευτέρας, τῷ ἄλλῳ. τῆς δὲ μέσης, καὶ τρίτης ἀναμενούσης τὴν προσβολήν.

Fran. Robortellus.

ἐν ταῖς πορείαις
- ὀρθία ἐπαγωγή
- παραγωγή
  - ἐν δεξιᾷ
  - ἐν εὐωνύμῳ
    - μονοπλεύρῳ
    - διπλεύρῳ
    - τριπλεύρῳ
    - τετραπλεύρῳ



τετραφαλαγγία



κοιλέμβολος

Quando hostes irruunt ὀρθίᾳ ἐπαγωγῇ contra tuum cornu, tunc est tibi conficiendus κοιλέμβολος aduersus ipsam.

Hostes vero aduersus κοιλέμβολον e contrario debebunt constituere τετραφαλαγγίαν.

Regulæ igitur hæ erunt.

1 ὀρθίᾳ ἐπαγωγῇ *debet opponi* κοιλέμβολος.

2 κοιλεμβόλῳ *debet opponi* τετραφαλαγγία.


ὀρθία ἐπαγωγή.



κοιλέμβολος.

Παραγωγὴ δὲ, ὅταν ἡ φάλαγξ τοὺς ἡγεμόνας, ἤτοι τοὺς λοχαγούς, ἢ ἐκ δεξιῶν ἔχῃ παράγοντας, ὃ καλεῖται δεξιὰ παραγωγὴ, ἢ ἐξ εὐωνύμων, ὃ λέγεται εὐώνυμος παραγωγὴ οὐκέτι κατὰ λόχους, ἀλλὰ κατὰ ζυγοὺς ἐπὶ κέρας πορευομένους. ἢ γὰρ ἐν διπλεύρῳ, ἢ τριπλεύρῳ, ἢ καὶ ἐν τετραπλεύρῳ τὰς φάλαγγας ποιουμένους, ὅθεν αὖ καὶ ἐξ ὁπόσων μερῶν τὸ πολέμιον ὑποπτεύηται βαδίζεται. ἀμφότερα δὲ ἐκ πλαγίων τὴν προσότην προσβολὴν ποιούμεναι τὸ μὲν μῆκος διπλάσιον ἐποίησαν τοῦ βάθους. δέκα μὲν γὰρ ἔχει τὸ στόμα, τρεῖς δὲ τὸ βάθος. τοῦτο δὲ τὸ τῆς μάχης ἐστὶ σχῆμα. δεῖ γὰρ τὸ ἐθίζεσθαι τὸν στρατιώτην, μὴ μόνον ἐπ' εὐθείας, ἀλλὰ καὶ τὰς ἐκπλαγίους μεμελετημένως δέχεσθαι προσβολάς.


ὀρθία ἐν εὐωνύμῳ παραγωγή ὀρθία ἐν δεξιῷ παραγωγή



Ἀντίστομος φάλαγξ. λέγεται μὲν οὕτω, διὰ τὸ δύο στόματα ἔχειν. στόματα γὰρ λέγονται οἱ πρὸς τοῖς πολεμίοις πορευόμενοι. ἐπεὶ οὖν ἐν τούτῳ τῷ σχήματι οἱ μὲν μέσοι ἀντίνωτοι εἰσίν. οἱ δὲ ἐν ταῖς ἀρχαῖς προσβάλλουσι τοῖς πολεμίοις, ὥστε τοὺς μὲν εἶναι ἐπιστάτας, τοὺς δὲ οὐραγούς. διὰ τοῦτο ταύτην ἔσχε τὴν ὀνομασίαν. ἔστι δὲ χρησιμωτάτη πεζοῖς, ὅταν πρὸς πολέμους μάχωνται πολλὴν τὴν ἱππικὴν παράταξιν ἔχοντας καὶ κατελαύνειν δυναμένους. τάττεται δὲ τὸ τοιοῦτον σχῆμα μάλιστα πρὸς τοὺς περὶ τὸν Ἴστρον βαρβάρους. οὓς καὶ ἀμφίππους ἔλεγον, ὡς εἰθισμένους μεταβαίνειν ἀπὸ ἄλλων ἵππων εἰς ἄλλους. τὸ δὲ ἀντιπαρατεταγμένον ἱππικὸν τάγμα τετράγωνον ἔχον σχῆμα πρὸς τὴν χρείαν ἐμερίσθη εἰς δύο τάξεις ἑτερομήκεις. ἑτερομήκεις δὲ εἰσίν, αἳ τὸ στόμα τοῦ βάθους ἔχουσι διπλάσιον. ἑκατέρα δὲ αὐτῶν πρὸς τὰς τῶν πεζῶν διαιρέσεις ἀντιπαρατέτακτον. ἀμφίστομος φάλαγξ ὁμοία καὶ αὐτὴ τῇ ἀντιστόμῳ ἐνηλλαγμένου τοῦ σχήματος, ὥστε πρὸς τὸ εἶδος τῶν ἱππικῶν ἐπίδρομον ἐθίζεσθαι. ἁρμό-

ζει δὲ καὶ ἐπὶ τούτου τοῦ σχήματος, πάντα τὰ ἐπὶ τῆς προτέρας φάλαγγος εἰρημένα πεζικῆς τε, καὶ ἱππικῆς. διαφέρει δὲ κατὰ τοῦτο τῆς ἀντιστόμου, ὅτι ἡ μὲν ἀντίστομος ἐξ ἄκρων ἔχει τὰς μάχας. ἡ δὲ ἀμφίστομος ἐκ πλαγίων. καὶ οἱ ἐν ταύτῃ τῇ τάξει, καὶ οἱ ἐν τῇ πρὸ ταύτης τεταγμένοι μεγάλοις δόρασι μάχονται, ὡς ἀλανοί, καὶ σαυρομάται. ἔχει δὲ τοὺς ἡμίσεας τῶν ἐν τοῖς λόχοις ὁπλιτῶν ἔμπροσθεν, τοὺς δὲ ἑτέρους ἀπεστραμμένους εἰς τοὐπίσω, ὡς ἀντινώτους ἀλλήλας γίνεσθαι. ἐν αὐτῇ δὲ δύο στόματα, ἔμπροσθέν τε ἐν οἷς οἱ λοχαγοί, καὶ ὄπισθεν ἐν οἷς οἱ οὐραγοί. οὐ μὴν ἀλλὰ καὶ εἰς διφαλαγγίαν διαιρουμένη τὸ μὲν ἔμπροσθεν στόμα διὰ τῆς μιᾶς ποιεῖται φάλαγγος, τὸ δὲ ὄπισθεν διὰ τῆς ἑτέρας.

πεζικὴ φάλαγξ ἀμφίστομος




ἱππικὴ παράταξις ἱππικὴ παράταξις

Ἀντίστομος διφαλαγγία, ἡ πρὸς τοὺς ἡγεμόνας, οὐκέτι ἐκτὸς ἐν παραγωγαῖς, ἀλλ' ἐντὸς ἔχει ἀπ' ἐναντίας ἀλλήλων παρατεταγμένους, τοὺς δὲ οὐραγοὺς ἐκτός τοὺς μὲν ἐν δεξιᾷ παραγωγῇ, τοὺς δὲ ἐν εὐωνύμῳ, γίνεται δὲ τὸ σχῆμα τοῦτο, ὅταν ἱππικὴ προσβολὴ ἐμβολοειδὴς ᾖ. τοῦ γὰρ ἐμβόλου εἰς ὀξὺ λήγοντος, καὶ ἔχοντος ἀκολουθοῦντας ἐκ πλαγίων τοὺς ἡγεμόνας, καὶ διατεμεῖν προθυμουμένους κατὰ τοῦ μετώπου τὴν πεζικὴν τάξιν, προσορώντων οἱ τῶν πεζῶν ἡγεμόνων ἐν τῷ μέσῳ ἵστανται. ἢ κωλύσαι ὀφείλοντων αὐτῶν τὴν εἴσοδον, ἢ ποιῆσαι αὐτοὺς ἀποσχίζεσθαι πα-

ρελθεῖν. οἱ μὲν γὰρ ἐν τοῖς ἐμβόλοις ὁρμῶσιν, ἐπ' ἐλπίδι τοῦ καταγωνίζεσθαι τὸ μέσον πλῆθος, καὶ ταραχὴν ἐμποιῆσαι τῷ τάγματι. οἱ δὲ τῶν πεζῶν στρατηγοὶ νοοῦντες τὴν ὁρμὴν τοῦ σχήματος ἐκείνου τείχους ἑκατέρωθεν μιμησάμενοι, καὶ μικρὸν ἑαυτοὺς διαστήσαντες, καὶ συννεύοντες κατὰ τὸ μέσον κενὴν αὐτοῖς διδόασι τὴν πάροδον· τὸ δὲ τοιοῦτον ἱππικὸν τάγμα παρὰ τοῖς τακτικοῖς ἔμβολος καλεῖται, ὃ εὗρε φίλιππος ὁ τῶν μακεδόνων βασιλεὺς τοὺς ἀνδρειοτάτους προτάξας, ἵνα δι' αὐτῶν συντρέχωνται καὶ οἱ ἀσθενέστεροι. ὃν τρόπον ἐπὶ τῆς λόγχης ἢ ἐπὶ τοῦ ξίφους ὁρῶμεν, τῷ κατὰ ἄκρα ἐστομωμένῳ καὶ εὐκόλως τέμνοντα δι' ὀξύτητα συνεισιόντα καὶ τὸν μέσον ὄγκον σίδηρον.

ἀμφίστομος διφαλαγγία



ἔμβολος ἱππική.

Fran. Regulæ. Rob.

1 *Si Hostes instruant aduersus tuam* ὀρθίαν ἐπαγωγὴν *equites in formam* τοῦ ἐμβόλου, *tunc erit tibi vtendum hoc remedio, vt scilicet* ὀρθὴν ἐπαγωγὴν *diuidas*

diuidas in duas partes, quo pateat aditus irruentibus equitibus.

2 τοῦ ἐμβόλου *frons prima debet continere fortißimum quenque, & lectißimum equitem.*

Inuentor huius τοῦ ἐμβόλου *fuit Philippus Rex Macedonum.*


Ταύτης αἱ φάλαγγες κατὰ παραγωγὴν ἐπὶ κέρως πορευόμεναι, ἡ μὲν ἐν δεξιᾷ λοξῇ παραγωγῇ ἔχει τοὺς ἡγεμόνας, ἡ δὲ ἐν εὐωνύμῳ λοξῇ τοὺς οὐραγοὺς ἔνδοθεν ἔχουσι. δείκνυσι τὸ σχῆμα τῆς παρατάξεως τὰς ὁρμὰς τῶν πολεμούντων, ἐπειδὴ ἡ προσβάλλουσα τάξις πάλαι τετραγώνος οὖσα ἐμέρισεν ἑαυτὴν εἰς δύο λοξὰ κέρατα τό τε δεξιὸν, καὶ τὸ εὐώνυμον κυκλῶσαι θέλουσα τὴν ἀνθισταμένην ἐν τετραγώνῳ τάξιν, διὰ τοῦτο οἱ μέλλοντες κυκλοῦσθαι εἰς δύο φάλαγγας κινουμένας μετεσχημάτισαν ἑαυτοὺς, καὶ οἱ μὲν αὐτῶν πρὸς τὸ εὐώνυμον ἐβάρησαν κέρας, οἱ δὲ πρὸς τὸ δεξιὸν μετεστράφησαν, ὅθεν καὶ πρόστομος ἐκλήθη ἀμφοτέρωθεν ἔχουσα πρὸς τὸ πολέμιον στόμα νενευκός.

πρόστομος διφαλαγγία.



Ita est descripta in antiquo manuscripto libro, sed quid de ea sentiam, libere proferam, nam video non consentientes inter se libros.

Hæc figura culpa pictoris non fuit apte expressa. nam debebat exprimi ita ut haberet formam λοξὴν. Sic.



Οὕτω καλεῖται αὕτη, ὅτι λόχου πλείου κινουμένου κατ' αὐτῆς, τουτέστιν ἀνδρῶν ις'. ὄπισθεν ὁμοίως λόχος αὐτῇ ἕπεται, διὸ καὶ ὁμοιόστομος κέκληται, ὅτι καὶ ἡ ἀκολουθοῦσα αὐτοῖς ἐν ὁμοίῳ σχήματι ἕπονται, ἀντίκειται δὲ αὕτη τῷ πλινθίῳ, λέγεται δὲ πλινθίον τάγμα ἰσόπλευρον, καὶ τῷ σχήματι, καὶ τῷ ἀριθμῷ. σχήματι μὲν, ὅτι πανταχόθεν ἴσα ἔχει τὰ διαστήματα. ἀριθμῷ δὲ, ὅτι ὅσον ἔχει τὸ μῆκος, τοσοῦτον καὶ τὸ βάθος, ἐν δὲ τῷ τοιούτῳ τάγματι ἐκ τῶν τεσσάρων πλευρῶν ὁπλῖται παρατάττονται, οὔτε τοξότου οὔτε σφενδονήτου τοῖς πλευροῖς συγκάμνοντος, ἔστι δὲ ὥσπερ τὸ πλινθίον ἐκ δύο διμοιριῶν. τὸ γὰρ ἥμισυ τοῦ λόχου διμοιρία καλεῖται, ὀφείλοντος γὰρ τοῦ λόχου ἔχειν ις', ὀκτὼ ἄνδρας ἔχει ἡ διμοιρία.

Ὅταν οὖν αἱ φάλαγγες παραπορευόμεναι ἀλλήλαις, ἢ ἐν δεξιᾷ παραγωγῇ ἔχωσιν ἀμφότεραι τοὺς ἡγεμόνας, ἢ ἐν εὐωνύμῳ, τότε λέγεται ὁμοιόστομος διφαλαγγία.

Ἥτις κατ' ἐπαγωγὴν πορευομένη, τοῦ μὲν ἡγουμένου τάγματος τοὺς ἡγεμόνας ἔχει, ὡς εἰκὸς ἐν δεξιᾷ παραγωγῇ, τοῦ δὲ ἑπομένου, ἐν εὐωνύμῳ. ὡς πορεύεσθαι τὰ συντάγματα τὰ ἐναλλὰξ, τὸ μὲν ἔχον ἐνθατέρῳ μέρει τοὺς ἡγεμόνας, τὸ δὲ ἐν τῷ ἄλλῳ, καὶ ὁμοίως τὰ λοιπά.



Vel. Cum ab omni parte te circumuentum videris.



Cum incertum fuerit qua parte te inuadant hostes, tunc πλινθίον fit.

πλινθίον.

Ταύτην πρῶτος ἰλέων εὗρεν ὁ Θεσσαλὸς, ὅθεν καὶ ἴλη ἐκ τοῦ ὀνόματος αὐτοῦ κέκληται, καὶ πρὸς αὐτὸ τὸ σχῆμα, Θεσσαλοὺς πάντας ἐγύμνασεν, ἔστι δὲ χρήσιμον, ἐπειδὴ καθ' ἑκάστην γωνίαν ἔχει στρατηγὸν τεταγμένον, πρῶτον μὲν τὸν ἰλάρχην, τελευταῖον δὲ τὸν οὐραγὸν, ἑκατέρωθεν δὲ, τοὺς πλαγιοφύλακας, ἀντιμάχεται δὲ πρὸς ταύτην, ἡ μηνοειδὴς τὰ κέρατα ἔχουσα προσπορευόμενα, καὶ ἐν αὐτοῖς τοὺς ἡγεμόνας τὸ μέσον κοιλαίνοντα, πρὸς τὸ κυκλοῦσθαι τὴν ἱππικὴν δύναμιν παρεσκευασμένην, ὅθεν οἱ ἱππεῖς κατὰ τὸ τῶν ἀκροβολικῶν σχῆμα πόρρωθεν ἀκοντίζουσι τὴν κυκλικὴν πορείαν αὐτῆς διαστέλλοντος, τάρας γὰρ πόλις τῆς σικελίας, ἧς ὁ στρατιώτης ἀκροβολιστὴς κέκληται, διὰ τὸ ἵππων μικρὰ πέμπειν ἀκόντια, καὶ μετατρέχεσθαι συμπληγάδα.

ἱππικὴ ὠοειδὴς ἴλη.



Ἥτις ἔχει διπλάσιον τὸ βάθος τοῦ μήκους, ἔτι δὲ ἀναγκαία κατὰ πλείονας τρόπους, καὶ γὰρ ἀπατῶσι πολεμίους ὀλίγοι εἶσιν οἱ ἐν αὐτῇ διὰ τὸ μὴ κατέχειν πλάτος, καὶ διακόψαι παρατεταγμένως πολεμίων δύναμιν, εὐκόλως δύναται τῇ πυκνώσει, καὶ τῇ ῥώμῃ τοῦ κατατάγματος, καὶ διὰ στενῆς δὲ χώρας ἱκανὴ διελθεῖν ἀνεπαισθήτως. ὑπόκειται δὲ αὐτῇ πεζικὴ δύναμις, ἣ καλεῖται πλαγία φάλαγξ, μηκύνει γὰρ ἑαυτὴν εἰς πλάτος, ἵνα κἂν διακόπτεται, ὀλίγον ᾖ τὸ βάθος τὸ διακοπτόμενον, καὶ ἡ τῶν ἱππέων τόλμα, μὴ εἰς ὄχλον, ἀλλ' εἰς ἀέρα συντόμως ἐκφέρηται, διὰ τοῦτο γὰρ καὶ πολλαπλάσιον ἔχει τὸ βάθος τοῦ μήκους.

ἱππικὴ ἐπιμήκης.




Περὶ ταύτης οὐδὲν πλέον ἔστιν εἰπεῖν, ἢ ὅτι στοιχεῖ μὲν, οὐ ζυγεῖ δὲ, τὸ γὰρ χρειῶδες τοῦ σχήματος προειλαβόντος εἰρήκαμεν, ὅτι εὗρε μὲν αὐτὴν Ἰλέων Θεσσαλὸς, ἐπήσκησε δὲ αὐτὴν Ἰάσων ὁ μηδείας ἀνὴρ, διάγκεια δὲ ἐστὶν ἐκ τῆς τεσσάρων ζυγῶν πεφυλαγμένη ἐκ τοῦ λοχαγοῦ, ἐκ τοῦ οὐραγοῦ, καὶ τῆς πλαγιοφυλάκων, τέτακται δὲ ἡ ἴλη αὕτη ὑπὸ ἱπποτοξοτῆς, ὡς τὸ ἐμβόλοις, καὶ τῶν Θηβαίοις ἦν ἔθος, ἀντίκειται δὲ αὐτῇ ἡ τῆς πεζῶν, ἣ καλεῖται μὲν ἐπικάμπιος ἐμπροσθία, παρὰ τὸ κάμπτειν μιμεῖσθαι τὴν προσαγωγὴν αὐτῆς, ὁρᾷ δὲ πρὸς ἀπάτην τῆς ἱπποτοξοτῆς, ἵνα ἢ ὀρθωθέντες αὐτοῦ, καὶ κατελάσαντες τοῦ κενώματος μεταλαβήσωσιν, ἢ ἵνα τοῖς κέρασι περιάξαντες αὐτοῦ, καὶ καταλύσαντες αὐτῆς τὴν προσβολὴν διὰ τῆς μέσων σημαίων ὄντων ἐπιθέμενοι περιγένωνται.

ἱππικὴ ὠοειδὴς ἴλη.



ἐπικάμπιος ἐμπροσθία.



Καὶ αὕτη μεμηχάνηται πρὸς δόλον· διὰ δεῖξαι γὰρ τὸ μέσον χώρημα ὀλίγους μὲν τοὺς ἐν τοῖς κέρασι προπορευομένους δείκνυσι, τριπλασίονας δὲ ἔχει τοὺς ὄπισθεν ἑπομένους, ἵνα διὰ μὲν κατισχύσωσιν οἱ ἐπὶ τῆς κεράτων τῆς προσβολῆς, ἀρκέσωσιν αὐτοί, ἐὰν δὲ μή, ῥαδίως ἐπιδραμόντες εἰς τὰ τῶν ἑκατέρων μέρη, συνωθῶσι τῷ μείζονι τάγματι. ἡ δὲ πρὸς τὸ εἰρημένον διὰ παρασκευαζομένη τάγμα κυρτὴ μὲν καλεῖται, διὰ τὸ περιφερὲς τῆς τάξεως. μηχανᾶται δὲ αὕτη ὀλίγην ἀπόδειξιν τὴν συμπεριεχομένην ἰδίαν δύναμιν διὰ τοῦ κυρτοῦ σχήματος, τὰ γὰρ σφαιροειδῆ μικρὰ μὲν ἐν τῇ κυκλώσει φαίνεται, ἀπλούμενα δὲ εἰς τὸ διπλάσιον ἐκτείνεται, ὡς ἔστιν ἰδεῖν ἐπὶ τῶν κιόνων, οἳ κυκλοτερεῖς εἰσίν, ὅθεν ἐὰν ὁρῶνται, τὸ μὲν ἥμισυ φανερὸν ἔχουσι, τὸ δὲ ἥμισυ κεκρυμμένον, καλεῖται δὲ παρεκτάξεων αὕτη τῇ τέχνῃ, τὸ δεῖξαι μὲν ἑαυτοὺς τοῖς πολεμίοις ὀλίγους, ἐπενεγκεῖν δὲ διπλασίονας.

ἐπικάμπιος ὀπισθία.



Αὕτη τετράγωνος μὲν τῷ σχήματι, ἀλλ' οὐ τῷ ἀριθμῷ, ἐπὶ δὲ τῶν τετραγώνων οὐ διώρισται ὁ ἀριθμός, ἔξεστι γὰρ καὶ διπλάσιον ποιῆσαι τὸ μῆκος τοῦ βάθους πρὸς τὴν τοῦ στρατηγοῦ χρείαν, ἐχρήσαντο δὲ μάλιστα τῷ σχήματι τούτῳ πέρσαι, καὶ σικελοί, καὶ τῶν ἑλλήνων οἱ πλεῖστοι, καὶ τὴν παράταξιν εὐχερῆ καταλαβόντες εἶναι, καὶ τὴν χρῆσιν βελτίονα, καὶ καλεῖται ἔμβολος πάντα τὰ πλευρὰ ὑπὸ ὁπλιτῶν τεταγμένα, εἴληπται δὲ τὸ σχῆμα ἐκ τῶν ἱππικῶν ἐμβόλων, ἀλλ' ἐπὶ μὲν τῶν ἱππέων εἷς προέχων ὑπάρ-

ἱππικὴ τετράγωνος.




στόμα.



καὶ ἐπὶ τῶν πεζῶν τρεῖς, ὡς ἐνεχόντων ἑνὸς ἱκανῶς προσβάλλειν τοῖς πολεμίοις, οὕτως γοῦν ἐπαμεινώνδας ὁ θηβαῖος πρὸς λακεδαιμονίους μαχόμενος ἐν λεύκτροις πυκνώσας εἰς ἔμβολον τὸ στράτευμα κατεπράξατο πλείστης δυνάμεως. Γίνεται δὲ, ἡ ἀμφίστομος τῆς πορείας διφαλαγγία, ὅταν τὰ μὲν ἔμπροσθεν κέρατα συνάψῃ, τὰ δὲ ὄπισθεν διαστήσῃ ἐν σχήματι τοῦ λ' στοιχείου.

πλαίσιον. στόμα



πεπλεγμένη φάλαγξ.

Τοῦτο πολλαπλάσιον ἔχει τὸ βάθος τοῦ μήκους, πλαίσιον δὲ λέγεται, ὅταν ἐκ πάντων τῶν πλευρῶν ὁπλῖται ὦσι, τῶν τοξοτῶν καὶ σφενδονητῶν κατὰ μέσον τεταγμένων, οἱ οὖν πρὸς τὸ τοιοῦτον ἀντιπαρατασσόμενοι σχῆμα τὴν πεπλεγμένην ἀντιτάττουσι τάξιν, ἵνα τῷ ἀνωμάλῳ ἰδίῳ σχήματι προστρέψωνται τοὺς ἐκ τοῦ πλαισίου κατὰ τῶν προεξεχόντων τῆς πεπλεγμένης τάξεως ὁρμῶντας, καὶ διὰ τούτου λύσωσι τὴν πύκνωσιν τῆς τοῦ πλαισίου τάξεως, καὶ προσορῶσι δὲ οἱ τῆς πεπλεγμένης λοχαγοὶ τοὺς ὑπ' ἐναντίας ἡγεμόνας, ἵνα ἐάν τε πεπυκνωμένοι ὦσι, καὶ αὐτοὶ οὕτως ἀντιπαράχωνται, ἐάν τε μερίζωσιν ἑαυτοὺς κατὰ τῆς ἰδίας δυνάμεως, προσυπαντήσωσιν αὐτοῖς καὶ αὐτοὶ πρὸς μερισμὸν ηὐτρεπισμένοι.

Πλάγιον λέγεται, ὅταν ἐκ δυοῖν πλευρῶν γίνηται ἡ παράταξις, οὐκ ἐν τετραγώνῳ, ἀλλ' ἐν ἑτερομήκει σχήματι.

Ὁπλῖται μὲν οὖν εἰσίν, οἱ διὰ θωράκων, καὶ κρανῶν, καὶ περικνημίδων περιπεφραγμένοι, ἐπιφερόμενοι δὲ καὶ ἀσπίδας τὸ μέγεθος σπιθαμῶν ζ΄. ἢ θυρεοὺς ἐπιμήκεις, καὶ δόρατα ὡσεὶ πηχῶν ιδ΄. πελτασταὶ δὲ, οἱ κουφότερον τύπον ἔχοντες ὅπλισιν, οἱ ἀντὶ θωράκων λωρίκια, ἢ ἐπιλωρίκια, πολλάκις δὲ καὶ κασσίδας περιβεβλημένοι, διὸ καὶ οἱ πλείους μετὰ τῶν ψιλῶν πεζῶν τούτους ἔταξαν, ψιλοὶ δὲ οἱ μηδὲν τοιαύτης ὁπλίσεως ἐπιφερόμενοι, ἀλλ' ἢ μόνον τοῖς μακρόθεν πεμπομένοις ἐκηβόλοις χρώμενοι ὅπλοις, οἱ μὲν τόξοις, οἱ δὲ ἀκοντίοις, οἱ δὲ σφενδόναις.

Ὑπερφαλάγγισις μὲν οὖν ἐστιν, ὅταν ἐξ ἑκατέρων τῶν κεράτων τῆς φάλαγγος ὑπερέχωσι τῶν πολεμίων.

ὑπερφαλάγγισις.



Ὑπερκέρασις δέ ἐστιν, ὅταν καθ᾽ ἓν κέρας ὑπερέχωμεν τῶν πολεμίων, ὥστε ὁ μὲν ὑπερφαλαγγῶν καὶ ὑπερκεράσει, ὁ δὲ ὑπερκερῶν, οὐχ ὑπερφαλαγγήσει. δυνατὸς γάρ ἐστιν καὶ ἥσσονα δύναμιν ἔχοντα ὑπερκεράσαι τοὺς πολεμίους. λεπτισμὸς δέ ἐστιν, ὅταν τὸ βάθος τῆς φάλαγγος συναιρεῖται, καὶ ἀντὶ ιϛ´ ἀνδρῶν, ἥσσονες γίνονται.

ὑπερκέρασις.




Ἡ δὲ τῶν σκευοφόρων ἀγωγὴ ἀναγκαιοτάτη ἐν τοῖς μάλιστα, καὶ ἡγεμόνος δεομένη τυγχάνει. Τρόποι δὲ εἰσὶ τῆς τῶν σκευοφόρων ἀγωγῆς πέντε, ἢ γὰρ αὐτὰ προάγειν δεῖ τῆς δυνάμεως, ἢ ἐπακολουθεῖν, ἢ ἑκατέρωθεν, ἢ τὸ πέμπτον ὑπὸ τῆς δυνάμεως περιέχεσθαι, πρὸ μὲν τῆς φάλαγγος, ἐὰν εἰς πολεμίαν ἐμβάλῃς, παρὰ δὲ τὴν φάλαγγα, ἐὰν τὰ πλάγια φοβούμενος πορεύῃ, ἐν δὲ τῇ φάλαγγι, ἐὰν κοῖλον τὸ τάγμα τυγχάνει ἄγων. Τελευταῖον δὲ παράγγελμα τῆς ἐξοπλισίας ἀποδοῦ ὀλίγον, προειπόντες πρότερον μὲν, ὅτι δεῖ ταῦτα σύντομα εἶναι. εἶτα μὴ ἔχοντα ἀμφιβολίαν, κατὰ τάχος γὰρ ὑπακούοντες, φυλάσσεσθαι αὐτὰς ἀμφιβολίας ὀφείλουσιν, ἵνα οἱ μὲν τόδε τι ποιῶσιν, οἱ δὲ πάλιν τὸ ἐναντίον, οἷον ἐὰν λέγῃ κλῖνον, δύνανται τοῦ ὀνόματος τούτου ἀκούσαντες οἱ μὲν ἐπὶ δόρυ, οἱ δὲ ἐπ᾽ ἀσπίδα κλῖναι, καὶ ταραχὴν οὐκ ὀλίγην τὸ παράγγελμα παρέξει. ἐπεὶ οὖν κυρίου τάξιν ἔχει τὸ εἰπεῖν κλῖνον ἐκέλευσα δὲ ἐπὶ δόρυ ἢ ἀσπίδα, δεήσει ἀντὶ τοῦ εἰπεῖν, κλῖνον ἐπὶ δόρυ, εἰπεῖν ἐπὶ δόρυ κλῖνον, τουτέστι προτάξαι τὸ εἶδος, καὶ ἐπιφέρειν τὸ γένος, ὁμοῦ γὰρ πάντες τὸ αὐτὸ ποιήσουσι, καὶ ὁμοίως μεταβάλλου ἢ ἐξέλισσε, πάλιν γὰρ ταῦτα κυρίου τάξιν ἔχει, διὸ τὰ εἴδη προτάξομεν, οἷον ἐπὶ δόρυ μεταβάλλου, ἢ ἐπ᾽ ἀσπίδα μεταβάλλου, διόπερ οὕτω παραγγελοῦμεν, τὸν λάκωνα ἐξελίσσειν τὸν μακεδόνα, ἢ ἐξέλισσε τὸν λάκωνα. συμβήσεται ἐὰν προτάξῃς τὸν ἐξελιγμὸν, ἄλλο καὶ ἄλλο τὸ εἶδος ποιήσειν τοῦ ἐξελιγμοῦ, τούτου δὴ χάριν φυλακτέον τὰς εἰρημένας ἀμφιβολίας, καὶ τὰ εἴδη προτιθέσειν τῶν γενῶν, δεῖ δὲ πρὸ πάντων παραγγέλλειν σιωπὴν, προσέχειν κελεύοντας τῷ παραγγελλομένῳ, ὅπερ καὶ Ὅμηρος ἐν τοῖς μάλιστα ἐσημειώσατο. Ἡγεμόνες δὲ μάλιστα δαήμονες ἐστιχόωντο. Νωλεμέως


πόλεμόνδε, κέλευε δ' ἑοῖσιν ἕκαστος Ἡγεμόνων, οἱ δ' ἄλλοι ἀκὴν ἴσαν, οὐδέ κε φαίης, τόσσον λαὸν ἕπεσθαι ἔχοντ' ἐν στήθεσιν αὐδήν. Σιγῇ δειδιότες σημάντορας ἀμφὶ δὲ πρὸς ἐνιπήν. Οἱ δ' ἄρ' ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί. Ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισι· τῶν δὲ βαρβάρων τὴν ἀκοσμίαν, ὄρνισιν ἀπείκαζεν εἰπών, Τῶν δ' ὥς τ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλά, Χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων, Ἀσίῳ ἐν λειμῶνι Καϋστρίου ἀμφὶ ῥέεθρα, Ἔνθα καὶ ποτόονται ἀγαλλόμεναι πτερύγεσσι, Κλαγγηδὸν προκαθιζόντων, σμαραγεῖ δέ τε λειμών, ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει, οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἀγῆρυς, καὶ ἐν ἄλλοις, Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι, Τρῶες μὲν κλαγγῇ ὀπῇ τ' ἔσαν ὄρνιθες ὥς. οἱ δ' ἄρ' ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί, Ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν. ἄγε εἰς τὰ ὅπλα, παράστητε παρὰ τὰ ὅπλα, ὁ σκευοφόρος ἀποχωρείτω τῆς φάλαγγος, ἔξω καὶ προσεχέτω τῷ παραγγελλομένῳ, ὑπόλαβε, ἀνάλαβε, διάστηθι, ἄνω τὸ δόρυ, στοίχει, ζύγει, παράγε ἐπὶ τὸν ἡγούμενον, τὸν ἴδιον λόχον ὁ οὐραγὸς ἀπευθυνέτω, συντήρει τὰ ἐξ ἀρχῆς διαστήματα, ἐπὶ δόρυ κλῖνον, πρόαγε, ἔχου οὕτως, εἰς ὀρθὸν ἀπόδος, ἐπ' ἀσπίδα κλῖνον, πρόαγε, ἔχου οὕτως, ἐπὶ δόρυ μετάβαλλε, πρόαγε, ἔχου οὕτως, τὸ βάθος διπλασίαζε, ἀποκατάστησον, τὸν λάκωνα ἐξέλισσε, ἀποκατάστησον, τὸν μακεδόνα ἐξέλισσε, ἀποκατάστησον, τὸν χορεῖον ἐξέλισσε, ἀποκατάστησον, ἐπὶ δόρυ ἐπίστρεφε, ἀποκατάστησον, ἐπὶ δόρυ περίσπα, ἀποκατάστησον· αὕτη σοι πρὸ τῆς τακτικῆς ἀφηγήσεως ἐλέχθησαν, σωτηρίαν τοῖς χρωμένοις αὐταῖς πορίζουσι, καὶ τοῖς ἐναντίοις ἧτταν ἐπάγουσι.

Τέλος.

Declaratio consequentis figuræ.

Λέγεται αὕτη καὶ παρὰ τοῖς παλαιοῖς τετράπλευρος, ἔχουσα καθ' ἓν μέρος ἀνὰ παραταγὰς τρεῖς. ὡς εἶναι ὁμοῦ διὰ τῶν τεσσάρων πλευρῶν παραταγὰς ιβ. εἰ γὰρ οὐκ ἔστι τὸ ἱππικὸν ἡμῶν πολύ, καὶ οἱ ἐχθροὶ ὅμοιον πεζικὸν οὐκ ἐπιφέρονται. εἰ δὲ ἔστι τὸ ἱππικὸν ἡμῶν ὀλίγον, ἐπιφέρονται δὲ καὶ οἱ ἐχθροὶ ὅμοιον ἡμῶν πεζικόν, ὀφείλει ἔχειν χωρία η'. πρὸς τὸ εἶναι αὐτοὺς ἐν πολλῇ ἀσφαλείᾳ. εἶναι δὲ ταῦτα ἀποκεχωρισμένα, ὅσον ἐστὶ δυνατὸν χωρεῖν καθ' ἓν ἕκαστον χωρίον, ἱππεῖς ιε' ἢ καὶ ιβ', τοῦ εἰσέρχεσθαι ἕνεκεν καὶ ἐξέρχεσθαι τοὺς πολεμοῦντας.





BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Franciscus Robortellus lectori.

Hæc, quæ sequuntur excerpta ex Leonis Imperatoris libro, apponenda censuimus, quod nomina vetusta Græcorum, quibus & aciem, & ductores singulos appellabant, cum appellationibus suæ ætatis conferuntur; Afferre vero hæc poterunt aliquam utilitatem legentibus, quia & historicos multos scio esse, quamvis eorum libri nondum impressi fuerint, qui de Constantinopolitanis rebus scribentes his nominibus usi sunt, quæ ea ætas tulit, ex Romanis sumens, plane enim ita fuit necesse, ut etiam apud nonnullos Iurisconsultos qui iisdem temporibus vixerunt, est videre. Adde quod nonnulli libri circumferuntur de re militari, qui etiam ipsi nondum impressi fuerunt, in quibus omnia fere his vocabulis videmus descripta.

ἐκ τῶν τακτικῶν τοῦ βασιλέως λέοντος τοῦ σοφοῦ.

Πρώτη κεφαλὴ ὁ στρατηγός, καὶ μετ' αὐτὸν οἱ μεράρχαι, εἶτα δρουγγάριοι, εἶτα οἱ κόμητες, ἤγουν οἱ τῶν λεγομένων βάνδων ἄρχοντες, εἶτα οἱ κένταρχοι, ἐφεξῆς δὲ οἱ δέκαρχοι, ἤγουν οἱ πρῶτοι τῶν λεγομένων ἀκιῶν, εἶτα οἱ πεντάρχαι, καὶ ἑξῆς οἱ τετράρχαι, οἵτινες καὶ διὰ τὸ ἔσχατον τοῦ στίχου τοῦ κατὰ τὸ βάθος, ἤτοι τὸ πάχος τῆς παρατάξεως τάσσεσθαι, καὶ οὐραγοὶ ἐκαλοῦντο, ὁ γὰρ ἔσχατος τοῦ ὅλου στίχου ἤγουν τῆς ἀκίας, ὡς ἐπὶ τῆς οὐρᾶς αὐτῆς, οὕτως ἵσταται, καὶ αὗται μὲν αἱ ὀνομασίαι τῶν ἀρχόντων, εἰσὶ δὲ καὶ ἕτεροι καθ' ἕκαστον τάγμα ἤτοι βάνδον διωρισμένοι, οἷον βανδοφόροι, σαλπιγκταὶ ἤτοι βουκινάτορες, θεραπευταί, ἰατροὶ οἱ καὶ δεσποτᾶτοι, καὶ μανδάτορες, καὶ παρακλήτορες οἱ διὰ λόγων διεγείροντες τὸν στρατὸν πρὸς ἀγῶνας, καὶ ἕτεροι τινὲς πρὸς διακονικὰς χρείας ἀφωρισμένοι, οἷον, σκρίβωνες καὶ οἱ λοιποί, ταῦτα γὰρ τῇ νῦν πολιτείᾳ γνωρίζεται τὰ ὀνόματα τῶν πολλῶν συνηθέντων, στρατηγὸς τοίνυν προσαγορεύεται ὁ τοῦ παντὸς στρατοῦ κορυφαῖος καὶ ἡγεμών, ὑποστράτηγος δὲ ὁ τὴν δευτέραν τάξιν τούτῳ πληρῶν, ὑπολαμβάνω δὲ ὡς οἱ παλαιότεροι ἡμῶν ὑποστρατήγους μὲν ἐκάλουν τοὺς στρατηγοὺς διὰ τὸ στρατηγὸν ἁπάντων κύριον εἶναι τὸν βασιλέα, ἐκ προσώπου δὲ αὐτοῦ καθ' ἕκαστον εἶναι θέμα τὸν στρατηγόν, καὶ διὰ τὴν τοιαύτην αἰτίαν ὁ στρατηγὸς ὑποστράτηγος ἐκαλεῖτο. στρατηγὸς δὲ κυρίως ἐλέγετο ὁ ἐκ προσώπου τοῦ βασιλέως ἐπὶ πάντων κεφαλὴ ἀποστελλόμενος, ἔχων ὑποστρατήγους τοὺς τῶν θεμάτων στρατηγούς, ὅπερ ἐστὶν ἄριστον, νῦν δὲ ὑποστράτηγος οὐ γνωρίζεται, εἰ μὴ ὁ καλούμενος μεράρχης, ἤτοι ὁ τοῦ μέρους τῆς ἀρχῆς ἐμπεπιστευμένος. δρουγγάριος δὲ λέγεται ὁ μιᾶς μοίρας ἄρχων, ἥτις ὑπὸ τὸ μέρος τοῦ μεράρχου τάσσεται, μέρος γάρ ἐστιν ἡ τοῦρμα τὸ ἐκ τριῶν μοιρῶν ἤγουν δρούγγων συγκείμενον ἄθροισμα, μοῖρα δέ ἐστι, ἤτοι δροῦγγος, τὸ ἐκ ταγμάτων ἤτοι ἀριθμῶν τῶν λεγομένων κομήτων συγκείμενον πλῆθος,

θος, κόμης δέ ἐστι, ὁ ἑκατὸν ἀνδρῶν ἄρχων, ἤτοι ἑκατόνταρχος, ὅς τις καὶ ὑπὸ τὸν κόμητα τέτακται· δέκαρχος δέ ἐστι, ὁ τῶν δέκα πρῶτος, πεντάρχης ὁ τῶν ε΄, ὅς τις καὶ μέσος ἵσταται τῆς ἀκίας, τετράρχης ἐστὶν ὁ καὶ φύλαξ ὁ λεγόμενος οὐραγὸς, καὶ τελευταῖος ἱστάμενος τῆς ἀκίας. ὁ γὰρ πυκνότερος τῶν ἀρχόντων διαμερισμὸς καὶ πλείονας δεικνύει τοὺς γενναίους καὶ ἀνδρείους στρατιώτας, καὶ εὐχερῶς ὑπακούειν καὶ ἐκτελεῖν ποιεῖ τὰ κελευόμενα, καὶ βανδοφόροι μέν εἰσι, οἱ τὸ σημεῖον τοῦ βάνδου βαστάζων, δεσποτάτοι δὲ προσηγορεύοντο τὸ παλαιὸν οἱ νῦν λεγόμενοι σκρίβωνες, οἵτινες παρακολουθοῦντες τῇ παρατάξει τοὺς ἐν τῇ μάχῃ τραυματιζομένους ἀναλαμβάνονται ὡς ἰατροὶ καὶ περιποιοῦνται. μανδάτωρες δέ εἰσιν, οἱ τὰ μανδάτα ἀπὸ τῶν ἀρχόντων πρὸς τοὺς στρατιώτας ὀξέως διακομίζοντες. λοχαγὸς δὲ λέγεται ὁ πρῶτος τοῦ στίχου ἤγουν τοῦ ὀρδίνου κατὰ τὸ βάθος, ὁ αὐτὸς δὲ λέγεται, καὶ πρῖμος καὶ προστάτης, σεκοῦνδος δὲ, ὁ δεύτερος τῆς ἀκίας ὁ λεγόμενος ἐπιστάτης, οὐραγὸς δὲ, ὁ ὀπίσω τοῦ ὅλου στίχου ἤγουν τῆς οὐρᾶς τοῦ ὀρδίνου ἱστάμενος, κούρσωρες δὲ λέγονται, ἤγουν πρόμαχοι, οἱ προτρέχοντες τῆς παρατάξεως ἐν τῇ συμβολῇ τοῦ πολέμου, καὶ τοῖς φεύγουσιν ἐχθροῖς ὀξέως ἐπιτιθέμενοι, οὓς καλοῦσι προελάσας, δεφένσωρες δὲ οἱ τούτοις μὲν ἐπακολουθοῦντες μὴ ἐκτρέχοντες δὲ καὶ λύοντες τὴν τάξιν, ἀλλὰ συντεταγμένως περιπατοῦντες, πρὸς ἐκδίκησιν τῶν κουρσόρων, εἴπερ αὐτοὺς ὡς εἰκὸς ἡττηθῆναι συμβῇ, οὕσπερ δικαίως ἄν τις καλέσοι ἐκδίκους, μήνσωρες δὲ λέγονται οἱ τὰ φοσσάτα μετροῦντες καὶ καθιστῶντες, οὓς μὲν μητάτωρας νῦν καλοῦσιν, ἀντικένσωρας δὲ, ἄλλους τινὰς ἔλεγον οἱ πάλαι ῥωμαῖοι, οὓς ὡς ὑπολαμβάνω νῦν τοῖς μὲν μητάτωρσι συντάσσοντες, ἰδίως ἐπονομάζουσιν, οὗτοι δέ εἰσιν οἱ προλαμβάνοντες ἐν ταῖς ὁδοιπορίαις, καὶ τὰς ἐπιτηδείας ὁδοὺς καὶ τοὺς τόπους ἀνερευνῶντες ἐν οἷς τὰ ἄπληκτα γίνεσθαι ὀφείλουσι, καὶ τὰς ὁδοὺς ταύτας ὁποῖαι εἰσὶ κατανοοῦντες, σκουλκάτωρες δὲ οἱ κατάσκοποι λέγονται οἵτινες μανθάνοντες τὰ τῶν ἐχθρῶν, ἀπαγγέλλουσι, πλαγιοφύλακες δέ εἰσιν οἱ πρὸς φυλακὴν τῶν πλαγίων τῆς πρώτης τάξεως τασσόμενοι, ὑπερκεράσται, οἱ πρὸς τὸ περιλαβεῖν τὸ τῶν πολεμίων κέρας τασσόμενοι, ἔνεδροι δὲ οἱ πρὸς τὰ ἐγκρύμματα κατὰ τῆς παρατάξεως πάσης τασσόμενοι, καὶ τοῦλδον μέν ἐστιν ἡ ἀποσκευὴ, καὶ χρεία πᾶσα τῶν στρατιωτῶν, τουτέστι, παῖδές τε καὶ ὑποζύγια, καὶ τὰ λοιπὰ ζῶα, καὶ ἔτι ἕτερον πρᾶγμα πρὸς ὑπηρεσίαν τοῦ φοσσάτου ἐπισύρεται, ἔστι δὲ καὶ ἡ τοῦ στρατηγοῦ περιέλευσις, εἰς τινας ἄρχοντας διαιρουμένη, οἷον, τόν τε κόμητα τῆς κόρτης αὐτοῦ, καὶ τὸν τοῦ θέματος, δομέστικον, καὶ ἁπλῶς εἰπεῖν εἰς τοὺς λοιποὺς ὑπὸ ἔθους τῆς περιελεύσεως αὐτοῦ ὑπηρέτας, οὓς περισσὸν ἡγούμεθα καταριθμεῖν, ὁ γὰρ πρωτονοτάριος τοῦ θέματος, καὶ ὁ χαρτουλάριος, προσέτι δὲ καὶ ὁ πραίτωρ, ἤγουν ὁ τοῦ θέματος δικαστὴς, ὁ μέν ἐστι τῆς πολιτικῆς διοικήσεως ἄρχων, ὁ δὲ τὰς δίκας τῶν δικαζομέ-

νων διαλύει, οὓς τῷ στρατηγῷ ἐντεῦθεν ὑποτίθεσθαι χρή, ἀλλ' ἐν τοῖς λόγοις τῶν ἰδικῶν αὐτῶν διοικήσεων πρὸς τὴν βασιλείαν ἡμῶν ἀφορμὴν, ὡς τὸ δι' αὐτῶν μανθάνειν τάς τε τῶν πολιτικῶν πραγμάτων καταστάσεις καὶ διοικήσεις ἀσφαλέστερον ἡγούμεθα, ὅτι μέναυλον εἶδός ἐστιν ἀκοντίου, ὅτι ὁ κριὸς τὸ ὄργανον ἀπὸ τοῦ κριοῦ τοῦ ζώου εἴληφε τὴν ἐπωνυμίαν ἐν ταῖς μάχαις ἀναποδίζοντος, ἵν' ἰσχυροτέρα ἐμβολὴ ὑποχωρήσαντος γένηται, ἔτι δὲ ὁ κριὸς τὸ τειχομαχικὸν ὄργανον δοκὸς μέγας ἐπιμήκης, τὸ πρὸς τὸ τεῖχος ἀφορῶν ἄκρον σεσιδηρωμένον ἔχων διαλύσεων χάριν μηχανῆς κρεμάμενον, πλάγιον καὶ ὑπὸ ἀνδρῶν πολλῶν εἰς τοὐπίσω ἑλκόμενον, εἶτα ἀφιέμενον καὶ τῷ τείχει διὰ καταφορᾶς ἀνυποστάτου προσαράσσει, ὅτι λόγχες, καὶ σίχες, καὶ ἀκία, καὶ κοντοσυβρίνιον ταυτόν ἐστι. ὅτι τοὺς δρουγγαρίους χιλιάρχους ἐκάλουν οἱ παλαιοί, ὅτι οἱ μεράρχαι πάλαι καλούμενοι στρατηλάται νῦν τουρμάρχαι λέγονται, ὅτι καραγὸς λέγεται ὁ διὰ τῶν ἁμαξῶν, καὶ τῶν βολῶν, καὶ τῶν ἄλλων μηχανῶν γινόμενος περιορισμὸς εἰς ἀσφάλειαν τοῦ στρατοῦ, ὅτι τοὺς τριβόλους ἐν σφηκώμασιν ἀποδεδεμένας ἔχοντες οἱ τοῦ στρατοῦ ἐρρίπτουν ταῦτα κύκλῳ τοῦ στρατοπέδου, καὶ ὅτε μεθίστασθαι ἔμελλον, εὐκόλως αὐτὰ διὰ τῶν σφηκωμάτων ἀνελέγοντο, ὅτι οἱ λεγόμενοι πάλαι ὁπλῖται νῦν σκουτάτοι καλοῦνται, ὅτι πέλται εἰσὶ μικρὰ σκουτάρια, ὅτι ὁ θυρεὸς, σκουτάριον ἐστὶ μέγα, καὶ ἐπιμήκες, ὅτι βερύτται τὰ ῥιπτάρια λέγονται, ὅτι μαρτζομάβυλον ἐλέγετο, ἡ νῦν σαλίβα, ὅτι ἄπληκτον τὸ φοσσάτον λέγεται, ὅτι ἑλέπολις ἐστὶ μηχάνημα ἐκ ξύλων πύργῳ παρεμφερὲς διὰ τροχῶν κινούμενον ὑψηλότερον γινόμενον τοῦ τείχους τῆς πολιορκουμένης πόλεως, ἐνταῦθα ἀνδρῶν ἀναβαινόντων οἱ πολεμισταὶ πρὸς τοὺς ἐν τῇ πόλει ἐκ ταύτης μάχονται.

In manuscriptis libris est hæc diuisio aciei, eiusque partiū, ac generum omnium ex methodo facta, quam non contemnendam putauimus, etsi Aeliani non est.

Γ ἅπασα δύναμις τῶν ὅπλων, ἡ πρὸς τὴν ἐκ χειρὸς μάχην ἐπιτηδεία ἐστὶν ἢ πρὸς τὴν ἐκ διαστήματος. ἐκ χειρὸς μὲν, ὡς ἡ πληκτικὴ πᾶσα καὶ ἡ δορατοφόρος ἐν ἱππικῇ. ἐκ διαστήματος δὲ, ὡς ἡ τοξικὴ, καὶ ἀκοντικὴ, καὶ σφενδονητική. καὶ τούτων ἑκάστη ἤτοι καθ' ἑαυτὴν, ἢ κατὰ συμβεβηκός, καθ' ἑαυτὴν μὲν, ὡς ἱππικὴ τῆς ἄλλης πάσης, κατὰ συμβεβηκὸς δὲ, ὡς ἡ πεζὴ τῆς ψιλῆς ἐν ὀρεινοῖς καὶ τραχέσι, καὶ ἔσονται τούτων ἀντιθέσεις πρὸς ἀλλήλας.

Γ ἅπασα μάχη κρίνεται ἢ παρὰ τὰς δυνάμεις, τῷ τὴν μὲν ὁπλιτικὴν, τὴν δὲ ἱππικὴν εἶναι, ἢ παρὰ τὸ πλῆθος τῶν δυναμένων, τῷ τοὺς μὲν μυρίους, τοὺς δὲ χιλίους εἶναι, ἢ παρὰ τὴν εὐτυχίαν τῶν ἀνδρῶν, ἢ παρὰ τὴν τῶν σωμάτων ῥώμην, ἢ διὰ τὴν τεχνικὴν ἄσκησιν, ἢ παρὰ τὴν τάξιν, τῷ τοὺς μὲν καλῶς συντετάχθαι, τοὺς δὲ μή, ἢ παρὰ τοὺς τόπους, ἢ τοὺς καιρούς.

ὧν νῦν αἱ μὲν εἰσὶ ταχεῖαι, αἱ δὲ στρατιώτιδες, αἱ δὲ ἱππαγωγοί,
T αἱ δὲ στρογγύλαι. Τῶν δὲ ταχειῶν αἱ μὲν εἰσὶ μονόκροτοι, αἱ δὲ δίκροτοι, αἱ δὲ τρίκροτοι, μέχρις ἑκκαίδεκα κροτῶν αἳ προελθόντος, εἰς τὴν ναυμαχίαν Ἀντωνίου καὶ Καίσαρος Αὐγούστου μετὰ Κλεοπάτρας ὑπὲρ Αἰγύπτου. Αἱ τριακόντοροι, καὶ τεσσαρακόντοροι, καὶ πεντηκόντοροι λέγονται κατὰ τὸ πλῆθος τῶν κωπῶν, ἡ μονήρης καὶ διήρης καὶ ἐφεξῆς, κατὰ τοὺς στοίχους τοὺς κατὰ τὸ ὕψος ἐπ' ἀλλήλοις. ἄλλο πόλεμος, καὶ ἄλλο μάχη, πόλεμος μὲν γάρ ἐστι πᾶσα διέξοδος τῶν ἀγώνων εἰς τὸ τελευταῖον τέλος, μάχη δὲ, ἡ ἐν ἑνὶ τόπῳ καὶ καιρῷ γινομένη συμπλοκὴ τῶν σωμάτων.

Fran. Robortellus.

Ea quæ a ſcriptoribus artis tradita ſunt, tunc demum placere ſolent, cum collata cum iis, quæ ex arte ſcripta fuerunt ab aliquo, ab omni parte reſpondent. Sic Dialecticorum præceptiones de ſyllogiſmo, & demonſtratione. Sic Rhetorum normam enthymematis, & exempli tractandi, criminum diluendorum, beneuolentiæ parandæ, permouendorum affectionum. Sic etiam, ne longius repetam, Aeliani huius noſtri, qui aciem inſtruere multis modis docet, & ſingulas ipſius appellationes explicat, moremque Macedonum, Theſſalorum, & Lacedæmoniorum demonſtrat in copiis inſtruendis, narrationes magis probabimus, cum eas conſentire cum antiquis hiſtoricis cognoſcemus. Dedi igitur operam ſedulo, vt id fieret; nam ex Arriano inſigni hiſtorico, qui Alexandri Macedonum Regis res geſtas conſcripſit, aliquot loca deprompſi, vbi pugnandi rationem omnem, & inſtruendi exercitus modum iiſdem prorſus nominibus exprimit, quibus Aelianus. Atque vtinam tã omnes hiſtorici græci diligentes in hac re fuiſſent, quam Arrianus, nam multo vberiorem haberemus ſcientiam totius artis militaris Græcorum, & Macedonum, qua nihil pulchrius, nihil vtilius eſſe poteſt; quando ita neceſſitas fert, vt ſemper inter ſe maximi principes bella gerant. Leget igitur vnuſquiſque Arriani deſcriptiones, & conferet cum Aeliano, tunc enim demum ſentiet ſe magnam ex huius diſciplinæ cognitione voluptatem cepiſſe.

Καὶ οἱ Θρᾷκες οἱ αὐτόνομοι παρεσκευασμένοι εἶργον τῆς προόδου (κατειληφότες τὴν ἄκραν τοῦ Αἵμου), τὸν στόλον, ᾗπερ ἦν τῷ στρατεύματι ἡ πάροδος. ξυναγαγόντες δὲ ἁμάξας, καὶ προβαλλόμενοι πρὸ σφῶν, ἅμα μὲν χαράκωμα ἐχρῶντο ταῖς ἁμάξαις, ἐς τὸ ἀπομάχεσθαι ἀπ᾽ αὐτῶν, εἰ βιάζοιντο, ἅμα δὲ ἐν νῷ εἶχον ἐπαφιέναι ἀνιοῦσιν, ᾗ ἀποτομώτατον τὸ ὄρος, ἐπὶ τὴν φάλαγγα τῶν Μακεδόνων τὰς ἁμάξας. γνώμην δὲ πεποίηντο, ὅτι ὅσῳ πυκνοτέρᾳ τῇ φάλαγγι καταφερόμεναι συμμίξουσιν αἱ ἅμαξαι, τοσῷδε μᾶλλόν τι διασκεδάσουσιν αὐτὴν βίᾳ ἐμπεσοῦσαι. Ἀλεξάνδρῳ δὲ βουλὴ γίνεται, ὅπως ἀσφαλέστατα ὑπερβάλῃ τὸ ὄρος. καὶ ἐπειδὴ ἐδόκει διακινδυνευτέα (οὐ γὰρ εἶναι ἄλλῃ τὴν πάροδον) παραγγέλλει τοῖς ὁπλίταις, ὁπότε καταφέροιντο κατὰ τοῦ ὀρθίου αἱ ἅμαξαι, ὅσοις μὲν ὁδὸς πλατεῖα οὖσα παρέχοι λῦσαι τὴν τάξιν, τούτους δὲ διαχωρῆσαι, ὡς δι᾽ αὐτῶν ἐμπεσεῖν τὰς ἁμάξας. ὅσοι δὲ περικατελαμβάνοιντο, ξυννεύσαντας, τοὺς δὲ καὶ πεσόντας ἐς γῆν, συγκλεῖσαι ἐς ἀκριβὲς τὰς ἀσπίδας, ὡς τὰς κατ᾽ αὐτῶν φερομένας τὰς ἁμάξας, καὶ τῇ ῥύμῃ κατὰ τὸ εἰκὸς ὑπερπηδώσας ἀβλαβῶς ἐπελθεῖν. καὶ οὕτω ξυνέβη, ὅπως παρῄνεσέ τε Ἀλέξανδρος, καὶ εἴκασεν. οἱ μὲν γὰρ διέσχον τὴν φάλαγγα. αἱ δὲ ὑπὲρ τῶν ἀσπίδων ἐπικυλισθεῖσαι ὀλίγα ἔβλαψαν. ἀπέθανε δὲ οὐδεὶς ὑπὸ ταῖς ἁμάξαις. ἔνθα δὴ οἱ Μακεδόνες θαρσήσαντες, ὅτι ἀβλαβεῖς αὐτοῖς, ἃς μάλιστα ἐδεδίεσαν, αἱ ἅμαξαι ἐγένοντο, σὺν βοῇ ἐς τοὺς Θρᾷκας ἐνέβαλον. Ἀλέξανδρος δὲ τοὺς τοξότας μὲν ἀπὸ τοῦ δεξιοῦ κέρως, πρὸ τῆς ἄλλης φάλαγγος, ὅτι ταύτῃ εὐπορώτερα ἦν, ἐλθεῖν ἐκέλευσε, καὶ ἐκτοξεύειν ἐς τοὺς Θρᾷκας, ὅπῃ προσφέροιντο. αὐτὸς δὲ ἀναλαβὼν τὸ ἄγημα, καὶ τοὺς ὑπασπιστάς, καὶ τοὺς Ἀγριανάς, κατὰ τὸ εὐώνυμον ἦγεν. ἔνθα δὴ οἱ τοξόται βάλλοντες τοὺς προεκθέοντας τῶν Θρᾳκῶν ἀνέστελλον. καὶ ἡ φάλαγξ προσμίξασα, οὐ χαλεπῶς ἐξέωσεν ἐκ τῆς χώρας ἀνθρώπους ψιλούς, καὶ κακῶς ὡπλισμένους βαρβάρους, ὥστε Ἀλέξανδρον ἀπὸ τοῦ εὐωνύμου ἐπάγοντα οὐκέτι ἐδέξαντο, ἀλλὰ ῥίψαντες ὡς ἑκάστοις προὐχώρει τὰ ὅπλα, κατὰ τοῦ ὄρους ἔφυγον. καὶ ἀπέθανον μὲν αὐτῶν ἐς χιλίους καὶ πεντακοσίους, ζῶντες δὲ ἄνδρες μὲν ὀλίγοι ἐλήφθησαν, δι᾽ ὠκύτητα, καὶ τῆς χώρας ἐμπειρίαν. γυναῖκες δὲ ὅσαι ξυνείποντο αὐτοῖς, ἐάλωσαν πᾶσαι. καὶ τὰ παιδάρια, καὶ ἡ λεία πᾶσα ἐάλω.

Ex Arriani. Lib. I.

Ἀλέξανδρος δὲ καὶ αὐτὸς τὴν μὲν φάλαγγα ἐς βάθος ἐκτάξας, ἐπῆγε. καὶ τοὺς τοξότας καὶ τοὺς σφενδονήτας προεκθέοντας, ἐκέλευσεν ἐκτοξεύειν τε, καὶ σφενδονᾶν ἐς τοὺς βαρβάρους, ὅπως προκαλέσαιτο αὐτοὺς ἐς τὰ ψιλὰ ἐκ τοῦ νάπους. οἱ δέ, ὡς ἐντὸς βέλους ἐγένοντο, παιό-

μενοι

μενοι ἐξέθεον ἐπὶ τοὺς τοξότας, ὅπως ἐς χεῖρας ξυμμίξειαν γυμνοῖς οὖσι τοῖς τοξόταις. Ἀλέξανδρος δὲ ὡς προήγαγεν αὐτοὺς ἐκ τῆς νάπης ἔξω, Φιλώταν μὲν ἀναλαβόντα τοὺς ἐκ τῆς ἄνωθεν Μακεδονίας ἱππέας, προσέταξεν ἐμβαλεῖν κατὰ τὸ κέρας τὸ δεξιόν, ᾗπερ μάλιστα προὐκεχωρήκεσαν ἐν τῇ ἐκδρομῇ. Ἡρακλείδην δὲ καὶ Σώπολιν, τοὺς ἐκ Βοττιαίας τε καὶ Ἀμφιπόλεως ἱππέας, κατὰ τὸ εὐώνυμον κέρας ἐπάγειν ἔταξε. τὴν δὲ κατὰ φάλαγγα τῶν πεζῶν, καὶ τὴν ἄλλην ἵππον, πρὸ τῆς φάλαγγος παρατείνας, κατὰ μέσους ἐπῆγε. καὶ ἔστε μὲν ἀκροβολισμὸς τὸ ἑκατέρωθεν ἦν, οἱ Τριβαλλοὶ οὐ μεῖον εἶχον. ὡς δὲ ἥ τε φάλαγξ πυκνὴ ἐνέβαλεν ἐς αὐτοὺς ἐρρωμένως, καὶ οἱ ἱππεῖς οὐκ ἀκοντισμῷ ἔτι, ἀλλ' αὐτοῖς ὠθοῦντες τοῖς ἵπποις, ἄλλῃ καὶ ἄλλῃ προσέπιπτον, τότε δὴ ἐτράποντο διὰ τῆς νάπης, ἐς τὸν ποταμόν. καὶ ἀποθνήσκουσι μὲν τρισχίλιοι ἐν τῇ φυγῇ, ζῶντες δὲ ὀλίγοι καὶ τούτων ἐλήφθησαν. ὅτι ὕλη τε δασεῖα πρὸ τοῦ ποταμοῦ ἦν, καὶ νὺξ ἐπιγενομένη τὴν ἀκρίβειαν τῆς διώξεως ἀφείλετο τοὺς Μακεδόνας. αὐτῶν δὲ τῶν Μακεδόνων τελευτῆσαι λέγει Πτολεμαῖος, ἱππέας μὲν ἕνδεκα, πεζοὺς δὲ ἀμφὶ τοὺς τεσσαράκοντα. ἀπὸ δὲ τῆς μάχης τριταῖος ἀφικνεῖται Ἀλέξανδρος ἐπὶ τὸν ποταμὸν τὸν Ἴστρον.

Ex Arriani. Lib. I.

Ὑπὸ δὲ τὴν ἕω Ἀλέξανδρος διὰ τοῦ ληίου ἦγε, παραγγείλας τοῖς πεζοῖς, πλαγίαις ταῖς σαρίσσαις ἐπικλίνοντας τὸν σῖτον, οὕτω προάγειν ἐς τὰ οὐκ ἐξειργασμένα. οἱ δὲ ἱππεῖς, ἔστε μὲν διὰ τοῦ ληίου προῄει ἡ φάλαγξ, ἐφείποντο. ὡς δὲ ἐκ τῶν ἐργασίμων ἐξήεσαν, τὴν μὲν ἵππον ἐπὶ τὸ δεξιὸν κέρας αὐτὸς Ἀλέξανδρος παρήγαγε, τὴν φάλαγγα δὲ ἐν πλαισίῳ Νικάνορα ἄγειν ἐκέλευσεν. καὶ οἱ Γέται οὐδὲ τὴν πρώτην ἐμβολὴν τῶν ἱππέων ἐδέξαντο. παράδοξος μὲν γὰρ αὐτοῖς ἡ τόλμα ἐφάνη τοῦ Ἀλεξάνδρου, ὅτι εὐμαρῶς οὕτω τὸν μέγιστον τῶν ποταμῶν διεβεβήκει ἐν μιᾷ νυκτὶ τὸν Ἴστρον, οὐ γεφυρώσας τὸν πόρον. φοβερὰ δὲ καὶ τῆς φάλαγγος ἡ ξύγκλεισις, βιαία δὲ ἡ τῶν ἱππέων ἐμβολή. καὶ τὰ μὲν πρῶτα ἐς τὴν πόλιν καταφεύγουσιν, ἣ δὴ ἀπεῖχεν αὐτοῖς ὅσον παρασάγγην τοῦ Ἴστρου. ὡς δὲ ἐπάγοντα εἶδον σπουδῇ Ἀλέξανδρον, τὴν μὲν φάλαγγα παρὰ τὸν ποταμόν, ὡς μὴ κυκλωθεῖεν πῃ οἱ πεζοί, ἐνεδρευσάντων τῶν Γετῶν, τοὺς ἱππέας δὲ κατὰ μέτωπον λείπουσιν.

Ex Arriani. Lib. I.

Ἀλέξανδρος δέ, ἐπειδὴ ἀπηγγέλθη αὐτῷ, ὅτι κινδυνεύουσιν οἵ τε ἱππεῖς καὶ τὰ ὑποζύγια, ἡ νὺξ αὐτοὺς καταλήψεται, αὐτὸς μὲν ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, καὶ ἱππεῖς

ἐς τετρακοσίους, ἐβοήθει σπουδῇ. τὸ δὲ ἄλλο στράτευμα πρὸς τῇ πόλει ἀπέλιπεν, ὡς μὴ ἀποχωρήσαντος παντὸς τοῦ στρατοῦ, καὶ οἱ ἐκ τῆς πόλεως ἐπιδραμόντες τοῖς ἀμφὶ γλαυκίαν ξυμμίξειαν. ἔνθα δὴ γλαυκίας προσάγοντα ἀλέξανδρον αἰσθόμενος ἐκλείπει τὰ ὄρη. οἱ δὲ ξὺν φιλώτᾳ ἀσφαλῶς ἐπὶ τὸ στρατόπεδον διεσώθησαν. ἐδόκουν δέ τι τὸν ἀλέξανδρον ἐν δυσχωρίᾳ ἀπειληφέναι, οἱ ἀμφὶ τὸν κλεῖτον καὶ γλαυκίαν. τά τε γὰρ ὄρη τὰ ὑπερδέξια κατεῖχον, πολλοῖς τε ἀκοντισταῖς, καὶ σφενδονήταις, καὶ ὁπλίταις δὲ οὐκ ὀλίγοις. καὶ οἱ ἐν τῇ πόλει κατειλημμένοι προσκείσεσθαι ἀπαλλαττομένοις ἔμελλον. τά τε χωρία, δι᾽ ὧν ἡ πάροδος ἦν τῷ ἀλεξάνδρῳ, στενὰ καὶ ὑλώδη ἐφαίνετο, τῇ μὲν πρὸς τοῦ ποταμοῦ ἀπειργόμενα, τῇ δὲ ὄρος ὑπερύψηλον ἦν, καὶ κρημνοὶ πρὸς τοῦ ὄρους, ὥς τε οὐδὲ ἐπὶ τεσσάρων ἀσπίδων δὴ τῷ στρατεύματι ἡ πάροδος ἐγίνετο. ἔνθα δὴ ἐκτάσσει τὸν στρατὸν ἀλέξανδρος, ἕως ἑκατὸν καὶ εἴκοσι τῷ βάθει τῆς φάλαγγος, ἐπὶ τὸ κέρας δὲ ἑκατέρωθεν διακοσίους ἱππέας ἐπιτάξας παρήγγελλε σιγῇ ἔχειν, τὸ παραγγελλόμενον ὀξέως δεχομένους, καὶ τὰ μὲν πρῶτα ἐσήμανεν ὀρθὰ ἀνατεῖναι τὰ δόρατα τοὺς ὁπλίτας, ἔπειτα ἀπὸ ξυνθήματος ἀποτεῖναι ἐς προβολήν, καὶ νῦν μὲν ἐς τὸ δεξιὸν ἐγκλῖναι τῶν δοράτων τὴν σύγκλισιν, αὖθις δὲ ἐπὶ τὰ ἀριστερά, καὶ αὐτὴν δὲ τὴν φάλαγγα ἐς τὸ πρόσω ὀξέως ἐκίνησε καὶ ἐπὶ τὰ κέρατα ἄλλο τε ἄλλῃ παρήγαγε. καὶ οὕτω πολλὰς τάξεις τάξας τε καὶ μετακοσμήσας, ἐν ὀλίγῳ χρόνῳ κατὰ τὸ εὐώνυμον, οἷον ἔμβολον ποιήσας τῆς φάλαγγος ἐπῆγεν ἐπὶ τοὺς πολεμίους. οἱ δὲ πάλαι μὲν ἐθαύμαζον τήν τε ὀξύτητα ὁρῶντες, καὶ τὸν κόσμον τῶν δρωμένων. τότε δὲ προσάγοντας ἤδη τοὺς ἀμφὶ ἀλέξανδρον οὐκ ἐδέξαντο, ἀλλὰ λείπουσι τοὺς πρώτους λόφους. ὁ δὲ καὶ ἐπαλαλάξας ἐκέλευσε τοὺς μακεδόνας, καὶ τοῖς δόρασι δουπῆσαι πρὸς τὰς ἀσπίδας. οἱ δὲ ταυλάντιοι ἔτι μᾶλλον ἐκπλαγέντες πρὸς τῆς βοῆς ὡς πρὸς τὴν πόλιν ἐπανήγαγον σπουδῇ τὸν στρατόν. ἀλέξανδρος δὲ λόφον τινὰς κατέχοντας ἰδὼν οὐ πολλοὺς τῶν πολεμίων, παρ᾽ ὃν αὐτῷ ἡ πάροδος ἐγίνετο, παρήγγειλε τοῖς σωματοφύλαξι, καὶ τοῖς ἀμφ᾽ αὐτὸν ἑταίροις, ἀναλαβόντας τὰς ἀσπίδας ἀναβαίνειν ἐπὶ τὸν ποταμόν, ἐπὶ τοὺς ἵππους, καὶ ἐλαύνειν ἐπὶ τὸν γήλοφον. ἐκεῖσε δὲ ἐλθόντας, εἰ ὑπομένοιεν οἱ κατειληφότες τὸ χωρίον, τοὺς ἡμίσεας καταπηδῆσαι ἀπὸ τῶν ἵππων, καὶ ἀναμιχθέντας τοῖς ἱππεῦσι πεζοὺς μάχεσθαι. οἱ δὲ πολέμιοι τὴν ὁρμὴν τὴν ἀλεξάνδρου ἰδόντες, λείπουσι τὸν γήλοφον. καὶ παρεκκλίνουσιν ἐφ᾽ ἑκάτερα τῶν ὀρῶν. ἔνθα δὴ καταλαβὼν ἀλέξανδρος τὸν γήλοφον σὺν τοῖς ἑταίροις, τούς τε ἀγριάνας μεταπέμπεται, καὶ τοὺς τοξότας ὄντας ἐς δισχιλίους. τοὺς δὲ ὑπασπιστὰς διαβαίνειν τὸν ποταμὸν ἐκέλευσε, καὶ ἐπὶ τούτοις τὰς τάξεις τῶν μακεδόνων. ὁπότε δὲ διαβάντες τύχοιεν, ἐπ᾽ ἀσπίδα ἐκτάσσεσθαι, ὡς πυκνὴν εὐθὺς διαβάντων φαίνεσθαι τὴν φάλαγγα. αὐτὸς δὲ ἐν προφυλακῇ ὤν, ἀπὸ τοῦ λόφου ἀφεώρα τῶν πολεμίων τὴν ὁρμήν.

οἱ δὲ ὁρῶντες διαβαίνουσαν τὴν δύναμιν, κατὰ τὰ ὄρη ἀντεπιέσθησαν, ὡς τοῖς μετὰ ἀλεξάνδρου ἐπιθησόμενοι, τελευταίοις ἀποχωροῦσιν. ὁ δὲ πελαζόντων ἤδη, αὐτός τε ἐκθεῖ σὺν τοῖς ἀμφ᾽ αὐτόν, καὶ ἡ φάλαγξ, ὡς διὰ τοῦ ποταμοῦ ἐπιοῦσα, ἐπηλάλαξε. οἱ δὲ πολέμιοι πάντων ἐπὶ σφᾶς ἐλαυνόντων ἐγκλίναντες ἔφυγον. καὶ ἐν τούτῳ ἐπῆγεν ἀλέξανδρος τούς τε ἀγριανίας, καὶ τοὺς τοξότας δρόμῳ, ὡς ἐπὶ τὸν ποταμόν. καὶ πρῶτος μὲν αὐτὸς φθάσας διαβαίνει, τοῖς τελευταίοις δέ, ὡς εἶδεν ἐπικειμένους τοὺς πολεμίους, ἐπιστήσας ἐπὶ τῇ ὄχθῃ τὰς μηχανάς, ἐξακοντίζειν ὡς πορρωτάτω ἀπ᾽ αὐτῆς ἐκέλευσεν, ὅσα μηχανῶν βέλη ἐξακοντίζεται. καὶ τοὺς τοξότας δὲ ἐκ μέσου τοῦ ποταμοῦ ἐκτοξεύειν ἐπεσβάντας καὶ τούτους. καὶ οἱ μὲν ἀμφὶ τὸν γλαυκίαν ἔσω βέλους προελθεῖν οὐκ ἐτόλμων. οἱ μακεδόνες δὲ ἐν τούτῳ ἀσφαλῶς ἐπέρασαν τὸν ποταμόν, ὥστε οὐδεὶς ἀπέθανεν ἐν τῇ ἀποχωρήσει αὐτῶν. τρίτῃ δὲ ἀπ᾽ ἐκείνης ἡμέρᾳ καταμαθὼν ἀλέξανδρος κακῶς αὐλιζομένους τοὺς ἀμφὶ κλεῖτον καὶ γλαυκίαν, καὶ οὔτε φυλακὰς ἐν τῇ τάξει αὐτοῖς φυλαττομένας, οὔτε χάρακα ἢ τάφρον προβεβλημένους, οἷα δὴ ξὺν φόβῳ ἀπηλλάχθαι οἰομένων ἀλέξανδρον, ἐς μῆκος δὲ οὐκ ὠφέλιμον ἀποτεταμένην αὐτοῖς τὴν τάξιν, ὑπὸ νύκτα ἔτι λαθὼν διαβαίνει τὸν ποταμὸν τούς τε ὑπασπιστὰς ἅμα οἱ ἄγων, καὶ τοὺς ἀγριανίας, καὶ τὴν περδίκκου καὶ κοίνου τάξιν. καὶ προστέτακτο μὲν ἀκολουθεῖν τὴν ἄλλην στρατιάν, ὡς δὲ καιρὸν εἶδεν ἐς ἐπίθεσιν, οὐ προσμείνας ὁμοῦ γενέσθαι πάντας, ἐφῆκε τοὺς τοξότας καὶ τοὺς ἀγριανίας. οἱ δὲ ἀπροσδόκητοί τε ἐπιπεσόντες, καὶ φάλαγγι κατὰ κέρας, ὑπὲρ ἀσθενεστάτοις αὐτοῖς ἐπιτροπωτάτῃ τῇ ἐμβολῇ πρὸς μίξιν ἔμελλον, τοὺς μὲν ἔτι ἐν ταῖς εὐναῖς κατέκτεινον, τοὺς δὲ φεύγοντας εὐπετῶς αἱροῦντες. ὥστε πολλοὶ μὲν αὐτοῦ κατελήφθησαν, καὶ ἀπέθανον. πολλοὶ δὲ ἐν τῇ ἀποχωρήσει ἀτάκτῳ καὶ φοβερᾷ γενομένῃ, οὐκ ὀλίγοι καὶ ζῶντες ἐλήφθησαν. ἐγένετο δὲ ἡ δίωξις τοῖς ἀμφὶ ἀλέξανδρον, μέχρι πρὸς τὰ ὄρη τῶν ταυλαντίων. ὅσοι δὲ καὶ ἀπέφυγον αὐτῶν, γυμνοὶ τῶν ὅπλων διεσώθησαν.

Ex Arriani. *Lib. I.*

Ἐν τούτῳ δὲ ἀλέξανδρος προὐχώρει ἐπὶ τὸν γρανικὸν ποταμὸν συντεταγμένῳ τῷ στρατῷ, διπλῆν μὲν τὴν φάλαγγα τῶν ὁπλιτῶν τάξας, τοὺς δὲ ἱππέας κατὰ τὰ κέρατα ἄγων, τὰ σκευοφόρα δὲ κατόπιν ἐπιτάξας ἕπεσθαι, τοὺς δὲ προκατασκεψομένους τὰ τῶν πολεμίων ἦγεν αὐτῷ ἡγέλοχος, ἱππέας μὲν ἔχων τοὺς σαρισσοφόρους, τῶν δὲ ψιλῶν ἐς πεντακοσίους. καὶ ἀλέξανδρός τε οὐ πολὺ ἀπεῖχε τοῦ ποταμοῦ τοῦ γρανικοῦ, καὶ οἱ ἀπὸ τῶν σκοπῶν σπουδῇ ἐλαύνοντες, ἀπήγγελλον ἐπὶ τῷ γρανικῷ πέραν, τοὺς πέρσας ἐφεστάναι ὡς ἐς μάχην τεταγμένους. ἔνθα δὴ ἀλέξανδρος μὲν τὴν στρατιὰν πᾶσαν συνέταττεν ὡς μαχουμένους. παρμενίων δὲ

προσελθὼν, λέγει Ἀλεξάνδρῳ τάδε. ἐμοὶ δοκεῖ βασιλεῦ, ἀγαθὸν εἶναι ἐν τῷ παρόντι καταστρατοπεδεῦσαι ἐπὶ τοῦ ποταμοῦ τῇ ὄχθῃ, ὡς ἔχομεν. τοὺς γὰρ πολεμίους οὐ δοκῶ τολμήσειν πολὺ τῷ πεζῷ λειπομένους, πλησίον ἡμῶν αὐλισθῆναι, καὶ ταύτῃ παρέξειν ἕωθεν εὐπετῶς τῷ στρατῷ διαβαλεῖν τὸν πόρον. ὑποφθάσομεν γὰρ αὐτοὶ περάσαντες, πρὶν ἐκείνους ἐς τάξιν καθίστασθαι. νῦν δὲ οὐκ ἀκινδύνως μοι δοκοῦμεν ἐπιχειρήσειν τῷ ἔργῳ, ὅτι οὐχ οἷόν τε ἐν μετώπῳ διὰ τοῦ ποταμοῦ ἄγειν τὸν στρατόν. πολλὰ μὲν γὰρ αὐτοῦ ὁρᾶται βαθέα. αἱ δὲ ὄχθαι αὗται, ὁρᾷς ὅτι ὑπερύψηλοι καὶ κρημνώδεις εἰσὶν αἱ αὐτῶν. ἀτάκτως τε οὖν καὶ κατὰ κέρας, ᾗπερ ἀσθενέστατον ἐκβαίνουσιν, ἐπικείσονται ἐς φάλαγγα συντεταγμένοι τῶν πολεμίων οἱ ἱππεῖς. καὶ τὸ πρῶτον σφάλμα ἔς τε τὰ παρόντα χαλεπὸν, καὶ ἐς τὴν ὑπὲρ παντὸς τοῦ πολέμου κρίσιν σφαλερόν. Ἀλέξανδρος δὲ, ταῦτα μὲν ἔφη. ὦ Παρμενίων γιγνώσκω, αἰσχύνομαι δὲ εἰ τὸν μὲν Ἑλλήσποντον διέβην εὐπετῶς, τοῦτο δὲ σμικρὸν ῥεῦμα, οὕτω τῷ ὀνόματι τὸν Γρανικὸν ἐκφαυλίσας εἴρξει ἡμᾶς τοῦ μὴ οὐ διαβῆναι, ὡς ἔχομεν, καὶ τοῦτο οὔτε πρὸς Μακεδόνων τῆς δόξης, οὔτε πρὸς τῆς ἐμῆς ἐς τοὺς κινδύνους ὀξύτητος ποιοῦμαι, ἀλλ᾽ ἀναθαρρήσειν τε δοκῶ τοὺς Πέρσας, ἀξιομάχους Μακεδόσιν ὄντας, ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους ἐν τῷ παραυτίκα ἔπαθον. ταῦτα εἰπὼν, Παρμενίωνα μὲν, ἐπὶ τὸ εὐώνυμον κέρας πέμπει ἡγησόμενον, αὐτὸς δὲ ἐπὶ τὸ δεξιὸν παρῆγεν.

Προετετάχθησαν δὲ αὐτοῦ ἐπὶ τοῦ μὲν δεξιοῦ, Φιλώτας ὁ Παρμενίωνος, ἔχων τοὺς ἑταίρους τοὺς ἱππέας, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριανὰς τοὺς ἀκοντιστάς. Ἀμύντας δὲ ὁ Ἀρραβαίου, τούς τε σαρισσοφόρους ἱππέας ἔχων, Φιλώτᾳ ἐπετάχθη, καὶ τοὺς Παίονας, καὶ τὴν ἴλην τὴν Σωκράτους. ἐχόμενοι δὲ τούτων, ἐτάχθησαν οἱ ὑπασπισταὶ τῶν ἑταίρων, ὧν ἡγεῖτο Νικάνωρ, ὁ Παρμενίωνος. ἐπὶ δὲ τούτοις, ἡ Περδίκκου τοῦ Ὀρρόντου φάλαγξ. ἐπὶ δὲ, ἡ Κοίνου τοῦ Πολεμοκράτους. ἐπὶ δὲ, ἡ Κρατεροῦ τοῦ Ἀλεξάνδρου. ἐπὶ δὲ, ἡ Ἀμύντου τοῦ Ἀνδρομένους. ἐπὶ δὲ, ὧν Φίλιππος ὁ Ἀμύντου ἦρχε.

Τοῦ δὲ εὐωνύμου, πρῶτοι μὲν οἱ Θετταλοὶ ἱππεῖς ἐτάχθησαν, ὧν ἡγεῖτο Κάλας ὁ Ἁρπάλου. ἐπὶ δὲ τούτοις, οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Φίλιππος ὁ Μενελάου. ἐπὶ δὲ τούτοις οἱ Θρᾷκες, ὧν ἦρχεν Ἀγάθων. ἐχόμενοι δὲ τούτων πεζοὶ, ἥ τε Κρατεροῦ φάλαγξ καὶ ἡ Μελεάγρου, καὶ ἡ Φιλίππου, ἔς τε ἐπὶ τὸ μέσον τῆς ξυμπάσης τάξεως. Περσῶν δὲ ἱππεῖς μὲν ἦσαν ἐς δισμυρίους, ξένοι δὲ πεζοὶ μισθοφόροι ὀλίγον ἀποδέοντες δισμυρίων. ἐτάχθησαν δὲ τὴν μὲν ἵππον παρατείναντες τῷ ποταμῷ, κατὰ τὴν ὄχθην ἐπὶ φάλαγγα μακράν, τοὺς δὲ πεζοὺς κατόπιν τῶν ἱππέων. καὶ γὰρ ὑπερδέξια ἦν τὰ ὑπὲρ τὴν ὄχθην χωρία. ᾗ δὲ Ἀλέξανδρον αὐτὸν καθεώρων, δῆλος γὰρ ἦν, τῶν τε ὅπλων τῇ λαμπρότητι, καὶ τῶν ἀμφ᾽ αὐτὸν τῇ σὺν ἐκπλήξει θεραπείᾳ, κατὰ τὸ εὐώνυμον μὲν σφῶν ἐπέχοντα, ταύτῃ πυκνὰς ἐπέταξαν τῇ ὄχθῃ τὰς ἴλας τῶν ἵππων. χρόνον μὲν δὴ ἀμφότερα τὰ στρατεύματα ἐπ᾽ ἄκρου τοῦ

ποταμοῦ ἐφεστώτων, ἀπὸ δὲ τοῦ μέσου ὄντων, ἡσυχίαν ἦγον. καὶ σιγὴ ἦν πολλὴ ἀφ' ἑκατέρων. οἱ γὰρ πέρσαι προσέμενον τοὺς μακεδόνας ὁπότε ἐσβήσονται ἐς τὸν πόρον, ὡς ἐπικεισόμενοι ἐκβαίνουσιν. ἀλέξανδρος δὲ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος ἕπεσθαί τε καὶ ἄνδρας ἀγαθοὺς γίνεσθαι, τοὺς μὲν προδρόμους ἱππέας, καὶ μὴν καὶ τοὺς παίονας, προεμβαλεῖν ἐς τὸν ποταμὸν ἔχοντα ἀμύνταν τὸν ἀρραβαίου καὶ τῶν πεζῶν μίαν τάξιν, καὶ πρὸ τούτων τὴν σωκράτους ἴλην πτολεμαῖον τὸν φιλίππου ἄγοντα, ἣ δὴ καὶ ἐτύγχανε τὴν ἡγεμονίαν τοῦ ἱππικοῦ παντὸς ἔχουσα ἐκείνῃ τῇ ἡμέρᾳ, αὐτὸς δὲ ἄγων τὸ δεξιὸν κέρας ἀπὸ σαλπίγγων τῷ ἐνυαλίῳ ἀλαλάζοντας, ἐμβαίνει ἐς τὸν πόρον, λοξὴν ἀεὶ παρατείνων τὴν τάξιν, ᾗ παρεῖλκε τὸ ῥεῦμα, ἵνα δὴ μὴ ἐκβαίνοντι αὐτῷ, οἱ πέρσαι κατὰ κέρας προσπίπτοιεν, ἀλλὰ καὶ αὐτὸς ὡς ἀνυστὸν τῇ φάλαγγι προσμίξῃ αὐτοῖς. οἱ δὲ πέρσαι ᾗ πρῶτοι οἱ ἀμφὶ ἀμύνταν καὶ σωκράτην προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνωθεν ἔβαλλον. οἱ μὲν αὐτῶν ἀπὸ τῆς ὄχθης ἐξ ὑπερδεξίου ἐς τὸν ποταμὸν ἐσακοντίζοντες. οἱ δὲ κατὰ τὰ χθαμαλώτερα αὐτῆς ἔστε ἐπὶ τὸ ὕδωρ καταβαίνοντες. καὶ ἦν τῶν τε ἵππων ὠθισμός. τῶν μὲν ἐκβαίνειν ἐκ τοῦ ποταμοῦ, τῶν δ' εἴργειν τὴν ἔκβασιν. καὶ παλτῶν ἀπὸ μὲν τῶν περσῶν πολλὴ ἄφεσις. οἱ μακεδόνες δὲ ξὺν τοῖς δόρασιν ἐμάχοντο, ἀλλὰ τῷ τε πλήθει πολὺ ἠλαττούμενοι μακεδόνες, ἐκακοπάθουν ἐν τῇ πρώτῃ προσβολῇ. καὶ αὐτοὶ ἐξ ἀβεβαίου τε καὶ ἅμα κάτωθεν ἐκ τοῦ ποταμοῦ ἀμυνόμενοι. οἱ δὲ πέρσαι, ἐξ ὑπερδεξίου τῆς ὄχθης, ἄλλως τε καὶ τὸ κράτιστον τῆς περσικῆς ἵππου ταύτῃ ἐπιτετάχατο, οἵ τε μέμνονος παῖδες, καὶ αὐτὸς μέμνων μετὰ τούτων ἐκινδύνευον. καὶ οἱ μὲν πρῶτοι τῶν μακεδόνων ξυμμίξαντες τοῖς πέρσαις κατεκόπησαν πρὸς αὐτῶν, ἄνδρες ἀγαθοὶ γενόμενοι, ὅσοι γε μὴ πρὸς ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐτῶν. ἀλέξανδρος γὰρ ἤδη πλησίον ἦν, ἅμα οἷ ἄγων τὸ κέρας τὸ δεξιόν. καὶ ἐμβάλλει ἐς τοὺς πέρσας πρῶτος, ἵνα τὸ πᾶν στῖφος τῆς ἵππου, καὶ αὐτοὶ οἱ ἡγεμόνες τῶν περσῶν τεταγμένοι ἦσαν. καὶ περὶ αὐτὸν ξυνειστήκει μάχη καρτερά, καὶ ἐν τούτῳ ἄλλαι ἐπ' ἄλλαις τάξεων τοῖς μακεδόσι διέβαινον οὐ χαλεπῶς ἤδη. καὶ ἦν μὲν ἀπὸ τῶν ἵππων ἡ μάχη, πεζομαχία δὲ μᾶλλόν τι ἐῴκει. ξυνεχόμενοι γὰρ ἵπποι τε ἵπποις, καὶ ἄνδρες ἀνδράσιν ἠγωνίζοντο, οἱ μὲν ἐξῶσαι εἰσάπαν ἀπὸ τῆς ὄχθης, καὶ ἐς τὸ πεδίον βιάσασθαι τοὺς πέρσας οἱ μακεδόνες, οἱ δὲ εἶρξαί τε αὐτῶν τὴν ἔκβασιν οἱ πέρσαι, καὶ ἐς τὸν ποταμὸν αὖθις ἀπώσασθαι. καὶ ἐκ τούτου ἐπλεονέκτουν ἤδη οἱ σὺν ἀλεξάνδρῳ, τῇ τε ἄλλῃ ῥώμῃ, καὶ ἐμπειρίᾳ, καὶ ὅτι ξυστοῖς κρανείνοις πρὸς παλτὰ ἐμάχοντο. ἔνθα δὲ καὶ ἀλεξάνδρῳ ξυντρίβεται τὸ δόρυ ἐν τῇ μάχῃ, ὁ δὲ ἀρέτην ᾔτει δόρυ ἕτερον ἀναβολέα τῶν βασιλικῶν. τῷ δὲ καὶ αὐτῷ πονουμένῳ συντετριμμένον τὸ δόρυ ἦν. ὁ δὲ τῷ ἡμίσει κεκλασμένου τοῦ δόρατος οὐκ ἀφανῶς ἐμάχετο, καὶ τοῦτο δείξας

ἀλεξάνδρῳ, ἄλλην αἰτεῖν ἐκέλευε. δημάρατος δὲ ἀνὴρ κορίνθιος τῶν
ἀμφ' αὐτὸν ἑταίρων δίδωσιν αὐτῷ τὸ αὑτοῦ δόρυ. καὶ ὡς ἀνέλαβε, καὶ
ἰδὼν μιθριδάτην τὸν δαρείου γαμβρὸν πολὺ πρὸ τῶν ἄλλων προϊπ-
πεύοντα, ἅμα οἱ ὥσπερ ἔμβολον τῶν ἱππέων ἐξελαύνει, καὶ αὐτὸς πρὸ
τῶν ἄλλων, καὶ παίσας ἐς τὸ πρόσωπον τῷ δόρατι καταβάλλει τὸν
μιθριδάτην. ἐν δὲ τούτῳ, ῥοισάκης μὲν ἐπελαύνει τῷ ἀλεξάνδρῳ, καὶ
παίει ἀλεξάνδρου τὴν κεφαλὴν τῇ κοπίδι, καὶ τοῦ μὲν κράνους τι ἀπέ-
θραυσε, τὴν πληγὴν δὲ ἔσχε τὸ κράνος. καὶ καταβάλλει καὶ τοῦτον ἀ-
λέξανδρος παίσας τῷ ξυστῷ διὰ τοῦ θώρακος ἐς τὸ στέρνον, μιθριδάτης
δὲ ἀνετέτατο μὲν ἤδη ἐπ' ἀλέξανδρον ὄπισθεν τὴν κοπίδα. ὑποφθά-
σας δὲ αὐτὸν κλεῖτος ὁ δρωπίδου παίει κατὰ τοῦ ὤμου, καὶ ἀποκόπτει
τὸν ὦμον τοῦ μιθριδάτου ξὺν τῇ κοπίδι. καὶ ἐν τούτῳ ἐπεκβαίνον-
τες ἀεὶ τῶν ἱππέων ὅσοις προυχώρει κατὰ τὸν ποταμὸν, προσεγί-
γνοντο τοῖς ἀμφ' ἀλέξανδρον. καὶ οἱ πέρσαι παιόμενοί τε πανταχόθεν
ἤδη ἐς τὰ πρόσωπα αὐτοί τε καὶ ἵπποι τοῖς ξυστοῖς, καὶ πρὸς τῶν ἱπ-
πέων ἐξωθούμενοι, πολλὰ δὲ καὶ πρὸς τῶν ψιλῶν ἀναμεμιγμένων
τοῖς ἱππεῦσι βλαπτόμενοι ἐγκλίνουσι ταύτῃ πρῶτον, ᾗ ἀλέξανδρος
προεκινδύνευεν. ὡς δὲ τὸ μέσον ἐνεδεδώκει αὐτοῖς, παρερρήγνυντο δὴ καὶ
τὰ ἐφ' ἑκάτερα τῆς ἵππου, καὶ ἦν δὴ φυγὴ καρτερά. τῶν μὲν δὴ ἱπ-
πέων τῶν περσῶν ἀπέθανον ἐς χιλίους. οὐ γὰρ πολλὴ ἡ δίωξις ἐγέ-
νετο, ὅτι ἐξετράπη ἀλέξανδρος ἐπὶ τοὺς ξένους τοὺς μισθοφόρους, ὧν τὸ στῖ-
φος, ᾗ τὸ πρῶτον ἐτάχθη, ἐκπλήξει μᾶλλόν τι τοῦ παραλόγου, ἢ λο-
γισμῷ βεβαίῳ ἔμενε. καὶ τούτοις τήν τε φάλαγγα ἐπαγαγὼν, καὶ τοὺς
ἱππέας πάντῃ προσπεσεῖν κελεύσας ἐν μέσῳ δι' ὀλίγου κατακόπτει αὐ-
τούς, ὥς τε διέφυγε μὲν οὐδείς.

ΤΕΛΟΣ.

τέλος.

REGISTRVM.

Omnes sunt duerniones præter Θ. & I. qui sunt terniones.

✱ A B Γ Δ E Z H Θ I.

Impreßum Venetiis apud Andream, & Iacobum Spinellos.
Anno M D L I I.